λεπτά τε καὶ χαρίεντα τετυγμένα χερσὶ γυναικῶν.
ἀλλ' ἤτοι τάδε πάντα καταφλέξω πυρὶ κηλέῳ·
οὐδὲν σοί γ' ὄφελος, ἐπεὶ οὐκ ἐγκείσεαι αὐτοῖς·
(οὐκ ἐντυλιχθήσῃ)
ἀλλὰ πρὸς τρώων καὶ τρωϊάδων κλέος εἶναι·
ὣς ἔφατο κλαίουσ'· ἐπὶ δὲ στενάχοντο γυναῖκες.

παράκειται τὰ ἀριστονίκου σημεῖα καὶ τὰ διδύμου περὶ τῆς ἀρισταρχείου διορθώσεως τινὰ δὲ καὶ ἐκ τῆς ἰλιακῆς προσῳδίας ἡρωδιανοῦ καὶ ἐκ τῶν νικάνορος περὶ στιγμῆς

ἸΛΙΆΔΟΣ Ψ

Ὣς οἱ μὲν στενάχοντο κατὰ πτόλιν· αὐτὰρ ἀχαιοὶ·
ἐπεὶ δὴ νῆάς τε καὶ ἑλλήσποντον ἵκοντο·
οἱ μὲν ἄρ' ἐσκίδναντο ἑὴν ἐπὶ νῆα ἕκαστος·
μυρμιδόνας δ' οὐκ εἴα ἀποσκίδνασθαι ἀχιλλεύς·
ἀλλ' ὅ γε, οἷς ἑτάροισι φιλοπτολέμοισι μετηύδα·
μυρμιδόνες ταχύπωλοι, ἐμοὶ ἐρίηρες ἑταῖροι·
μὴ δή πω ὑπ' ὄχεσφι λυώμεθα μώνυχας ἵππους·
ἀλλ' αὐτοῖς ἵπποισι καὶ ἅρμασιν ἆσσον ἰόντες·
πάτροκλον κλαίωμεν· ὃ γὰρ γέρας ἐστὶ θανόντων·
αὐτὰρ ἐπεί κ' ὀλοοῖο τεταρπώμεσθα γόοιο·
ἵππους λυσάμενοι δορπήσομεν ἐνθάδε πάντες·

ὣς οἱ μὲν στενάχοντο: ὅτι εἰ καὶ ὡς στεναχόντων ἀθρόων· οὐ καὶ οὕτως ἔλεγον στενάχοντο· ἀλλ' ὥσπερ ἀπὸ τοῦ φέρον φέρον, οὕτως ἀπὸ τοῦ στενάχον στενάχοντο λέγει:–

κατὰ πτόλιν: τρόπον, καθ' ὃν πεῖραν τὸν ἐν σαλαμῖνι ἡ λέξις· καὶ ταῖς δὲ καὶ παρακωμικοῖς ἐν σοφισταῖς:–

νῆάς τε: τὸν ναύσταθμον ἐν τῷ τὰ τὸ μὴν ὅρ. λλά:–

ἀποσκίδνασθαι: ἀφ' ἑαυτοῦ χωρίζεσθαι· ἢ παρέλκει ἡ ἀπό ὡς ἐν τῷ· ἀπίνυτι μὴν ... μέγα:–

ὁ λύωμεν δὲ πω

ὃ ἐστὶ τὸ γέρας ἢ περισσὸς ὁ γάρ·

ὣς ἔφατ'· οἱ δ' ᾤμωξαν ἀολλέες· ἦρχε δ' ἀχιλλεύς·
οἱ δὲ τρὶς περὶ νεκρὸν ἐΰτριχας ἤλασαν ἵππους
μυρόμενοι, μετὰ δέ σφι θέτις γόου ἵμερον ὦρσε·
δεύοντο ψάμαθοι, δεύοντο δὲ τεύχεα φωτῶν
δάκρυσι· τοῖον γὰρ πόθεον μήστωρα φόβοιο·
τοῖσι δὲ πηλείδης ἀδινοῦ ἐξῆρχε γόοιο.
χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσιν ἑταίρου·
χαῖρέ μοι ὦ πάτροκλε καὶ εἰν ἀΐδαο δόμοισι·
πάντα γὰρ ἤδη τοι τελέω τὰ πάροιθεν ὑπέστην.
ἕκτορα δεῦρ' ἐρύσας δώσειν κυσὶν ὠμὰ δάσασθαι·
δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσειν
τρώων ἀγλαὰ τέκνα· σέθεν κταμένοιο χολωθείς·
ἦ ῥα· καὶ ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα.
πρηνέα πὰρ λεχέεσσι μενοιτιάδαο τανύσσας
ἐν κονίῃς. οἱ δ' ἔντε' ἀφωπλίζοντο ἕκαστος
χάλκεα μαρμαίροντα· λύον δ' ὑψηχέας ἵππους·
κὰδ δ' ἷζον παρὰ νηῒ ποδώκεος αἰακίδαο
μυρίοι· αὐτὰρ ὁ τοῖσι τάφον μενοεικέα δαίνυ·
πολλοὶ μὲν βόες ἀργοὶ ὀρέχθεον ἀμφὶ σιδήρῳ
σφαζόμενοι· πολλοὶ δ' ὄϊες· καὶ μηκάδες αἶγες·
πολλοὶ δ' ἀργιόδοντες ὕες· θαλέθοντες ἀλοιφῇ.
εὑόμενοι τανύοντο διὰ φλογὸς ἡφαίστοιο·
πάντῃ δ' ἀμφὶ νέκυν κοτυλήρυτον ἔρρεεν αἷμα·
αὐτὰρ τόν γε ἄνακτα ποδώκεα πηλείωνα.
εἰς ἀγαμέμνονα δῖον ἄγον βασιλῆες ἀχαιῶν.

δεύοντο ψάμαθοι· ἔστι τὸ σχῆμα [illegible] τινὲς [illegible] γὰρ τὸ δακρύειν αὐτοὺς [illegible] δάκρυσι τοῖον γάρ· ὁ αἰτιατικὸς τὸ τοῖον [illegible] οὖσιν φαθεῖν:

χεῖρας ἐπ' ἀνδροφόνους· πρὸ τὸ ἀμφὶ [illegible] τὰς χεῖρας [illegible] αὐτοῦ πατρόκλου [illegible] τοῦ πατρόκλου [illegible] αὐτοῦ:

χαῖρέ μοι ὦ πάτροκλε· [illegible] μυχίαι [illegible] καὶ [illegible] τὸ [illegible] ὑπὲρ [illegible] φησίν. καὶ εἰ ἀΐδαο δόμοισιν ὢν ὅμως χαῖρε. οἷον [illegible] παραμυθίαι καὶ χαρά [illegible]:

μυρίοι αὐτὰρ ὁ τοῖσιν· ὁ τάφον τὸ [illegible] τὸ περὶ [illegible]

πάντῃ δ' ἀμφὶ νέκυν· ὁ [illegible] κοτυλήρυτον οὐ γὰρ ἀπὸ τῆς [illegible] ἀλλὰ ἀπὸ τοῦ [illegible] κοτύλη εἶδος ποτηρίου κοίλου [illegible] κοτυλήρυτον [illegible]:

[illegible] τοὺς ἐπ' ἀνδροφόνους

λύοντο δὲ μὲν [illegible] ἵππους:

ἢ ὅτι εἰς [illegible] γὰρ τὸν πρός

σπουδῇ παρπεπιθόντες· ὅτι σπουδῇ, μετὰ πολλῆς κακοπαθείας. καὶ ἐλλείπει ἡ πρόθεσις. ἑταῖρ ἀντὶ τοῦ πειθέσιον καὶ τὸ χωόμενον ἀντὶ τοῦ συγχεόμενον· τὸ πεπιθόντες ὁ ἀκαταπαύοντες· ἔστι γὰρ δεύτερος ἀόριστος.
οὐ μὰ Ζῆν· ἐπὶ τὴν ἄρνησιν καὶ ἀπόδοσιν ὁμοῦ ἐθικῶν:

σπουδῇ παρπεπιθόντες ἑταῖρον χωόμενον κῆρ·
οἳ δ' ὅτε δὴ κλισίην Ἀγαμέμνονος ἷξον ἰόντες,
αὐτίκα κηρύκεσσι λιγυφθόγγοισι κέλευσαν
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, εἰ πεπίθοιεν
Πηλεΐδην λούσασθαι ἄπο βρότον αἱματόεντα:
αὐτὰρ ὅ γ' ἠρνεῖτο στερεῶς, ἐπὶ δ' ὅρκον ὄμοσσεν·
οὐ μὰ Ζῆν', ὅς τίς τε θεῶν ὕπατος καὶ ἄριστος.
οὐ θέμις ἐστὶ λοετρὰ καρήατος ἆσσον ἱκέσθαι.
πρίν γ' ἐνὶ Πάτροκλον θέμεναι πυρὶ σῆμά τε χεῦαι.
κείρασθαί τε κόμην. ἐπεὶ οὔ μ' ἔτι δεύτερον ὧδε
ἵξετ' ἄχος κραδίην. ὄφρα ζωοῖσι μετείω.
ἀλλ' ἤτοι νῦν μὲν στυγερῇ πειθώμεθα δαιτί.
ἠῶθεν δ' ὄτρυνον ἄναξ ἀνδρῶν Ἀγάμεμνον.
ὕλην τ' ἀξέμεναι. παρά τε σχεῖν. ὅσσ' ἐπιεικὲς
νεκρὸν ἔχοντα νέεσθαι ὑπὸ ζόφον ἠερόεντα.
ὄφρ' ἤτοι τοῦτον μὲν ἐπιφλέγῃ ἀκάματον πῦρ
θᾶσσον ἀπ' ὀφθαλμῶν. λαοὶ δ' ἐπὶ ἔργα τράπωνται.
ὣς ἔφαθ'. οἳ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο.
ἐσσυμένως δ' ἄρα δόρπον ἐφοπλίσσαντες ἕκαστοι
δαίνυντ'. οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο.
οἳ μὲν κακκείοντες ἔβαν κλισίην δὲ ἕκαστος.
Πηλεΐδης δ' ἐπὶ θινὶ πολυφλοίσβοιο θαλάσσης.
κεῖτο βαρὺ στενάχων πολέσιν μετὰ Μυρμιδόνεσσιν.
ἐν καθαρῷ. ὅθι κύματ' ἐπ' ἠϊόνος κλύζεσκον.

ἀρετὰς χ ἐκέλευσαν· πληθυντικῶς:

ἐναλλαγή· ἐπεὶ οὔ τί με

ἐν πειθώμεθα. οὐ τερπόμεθα:

ἀλλ' ἤτοι νῦν μέν· οὕτως μὲν στυγερῇ καὶ πειθώμεθα οὐ τερπόμεθα:—

θᾶσσον ἀπ' ὀφθαλμῶν· ἀντὶ τοῦ ἵνα ταχύτερον ἐκ τοῦ τῆς ὄψεως ἡμῶν γένηται:—

οἱ μὲν κακκείοντες· οἷον ἦλθον [illegible] ἐπὶ τὸν [illegible]:—

Πηλεΐδης δ' ἐπὶ θινί· πρὸς ὅ ποιοῦσα κοίτη τοῖς πενθοῦσι καὶ ἁρμόζει τὸ ἀγαθὲ τοῖς παρηγορεῖ τὸν φίλον οὐ φέρων καθ' αὐτὸν τρέπεσθαι χολάζων τοῖς πενθοῦσι:—

εὖτε τὸν ὕπνος ἔμαρπτε, λύων μελεδήματα θυμοῦ·
νήδυμος ἀμφιχυθείς· μάλα γὰρ κάμε φαίδιμα γυῖα
Ἕκτορ' ἐπαΐσσων προτὶ Ἴλιον ἠνεμόεσσαν·
ἦλθε δ' ἐπὶ ψυχὴ Πατροκλῆος δειλοῖο.
πάντ' αὐτῷ, μέγεθός τε καὶ ὄμματα καὶ εἰκυῖα·
καὶ φωνήν, καὶ τοῖα περὶ χροῒ εἵματα ἕστο·
στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν·
εὕδεις, αὐτὰρ ἐμεῖο λελασμένος ἔπλευ Ἀχιλλεῦ.
οὐ μέν μευ ζώοντος ἀκήδεις, ἀλλὰ θανόντος·
θάπτε με, ὅττι τάχιστα· πύλας Ἀΐδαο περήσω·
τῆλέ με εἴργουσι ψυχαί, εἴδωλα καμόντων·
οὐδέ μέ πω μίσγεσθαι ὑπὲρ ποταμοῖο ἐῶσιν.
ἀλλ' αὔτως ἀλάλημαι ἀν' εὐρυπυλὲς Ἄϊδος δῶ·
καί μοι δὸς τὴν χεῖρ'· ὀλοφύρομαι· οὐ γὰρ ἔτ' αὖτις
νίσομαι ἐξ Ἀΐδαο, ἐπήν με πυρὸς λελάχητε·
οὐ μὲν γὰρ ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
βουλὰς ἑζόμενοι βουλεύσομεν· ἀλλ' ἐμὲ μὲν κὴρ
ἀμφέχανε στυγερή, ἥπερ λάχε γεινόμενόν περ·
καὶ δὲ σοὶ αὐτῷ μοῖρα θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ
τείχει ὑπὸ Τρώων εὐηγενέων ἀπολέσθαι·
ἄλλο δέ τοι ἐρέω, καὶ ἐφήσομαι, αἴ κε πίθηαι·
μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ' Ἀχιλλεῦ·
ἀλλ' ὁμοῦ ὡς ἐτράφημεν ἐν ὑμετέροισι δόμοισιν·
εὖτέ με τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος
ἤγαγεν ὑμέτερόνδ' ἀνδροκτασίης ὕπο λυγρῆς

σαφῶς ἀπὸ τῆς ἀρχῆς τὸ ὄνομα:

ἦλθε δ' ἐπὶ ψυχή· ἀπέδωκας τὸ πατροκλῆος καὶ τὸ δειλοῖο δειλαίου [illegible] φαντασίαν τοῦ ὁμοίου [illegible] Ἀχιλλεῖ ὁ τοῦ φίλου τύπος [illegible] χρύσιππος δὲ μετὰ τὸν χωρισμὸν τοῦ σώματος [illegible]:-

οὐ μέν μευ ζώοντ' ἀκήδεις· [illegible] ποιητικός· [illegible] ἤκουσα ἄκουσα· [illegible] καὶ τὸ ἠκηδὲς ἀκήδες:-

θάπτε με ὅττι τάχιστα· λείπει τὸ ἵνα [illegible]:-

οὐδέ με πω μίσγεσθαι ὑπὲρ ποταμοῖο· [illegible] ἀναγνωστέον [illegible] τοῦ ποταμοῦ [illegible] ψυχὰς καὶ μὴ [illegible] εἰκυῖα:-

καί μοι δὸς τὴν χεῖρ· [illegible] ἀντὶ τοῦ ἵνα ὀλοφύρομαι:-

νίσομαι ἐξ Ἀΐδαο: [illegible]

οὐ μὲν γὰρ ζωοί γε· [illegible] οὐ γὰρ ἔτι ζωοί γε:-

ἥπερ λάχε: λάχε [illegible] παρειλήφθη δὲ ὅτι [illegible]

τείχει ὑπὸ Τρώων εὐηγενέων· [illegible]

μὴ ἐμὰ σῶν ἀπάνευθε· τοῦτο ἀπ' ἀρχῆς ἀναγνωστέον [illegible]

καὶ ὁ τῆς [illegible] ὁ Κρατήτειος [illegible] χαλδαῖον [illegible] φησί [illegible] νέων: [illegible] ἀντὶ προστακτικοῦ τοῦ τίθει:-

νήπιος οὐκ ἐθέλων: ἀντὶ τοῦ ἄκων ... ἀμφ' ἀστραγάλοισιν ἐρίσας· καὶ ... ἀστραγάλαις δ' ... ὅσοι εἰσὶ ... : — χρύσεος ἀμφιφορεύς: ... καὶ τὴν χρυσῆν ... καθήκει ... ἀμφιφορέα ... φησὶν ... : — χρύσεος ἀμφιφορεύς: διόνυσος ... ἀμφιφορέα ... θέτιδος ... ἀμφορέα ... : — ἠθείη κεφαλή· προσφώνησις ... πρεσβυτέρου ... πρεσβύτερος ἀχιλλέως ὁ πάτροκλος· ... ἠθείη κεφαλή ... ὁ ... :—

ἀλλά μοι ἆσσον στῆθι· ἐκατέρα ... τὸ ἀμφ... καὶ ... πλησίον στῆθι ... ἀλλήλους περιπτυξάμενοι ... μεθα: —

τοῦτον ... ὁμώνυμον φερεκύδης ἱστορεῖ:

ἤματι τῷ ὅτε παῖδα κατέκτανον ἀμφιδάμαντος
νήπιος οὐκ ἐθέλων ἀμφ' ἀστραγάλοισι χολωθείς·
ἔνθά με δεξάμενος ἐν δώμασιν ἱππότα πηλεὺς
ἔτραφέ τ' ἐνδυκέως καὶ σὸν θεράποντ' ὀνόμηνεν·
ὣς δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σορὸς ἀμφικαλύπτοι
χρύσεος ἀμφιφορεύς· τόν τοι πόρε πότνια μήτηρ.
τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς ἀχιλλεύς·
τίπτέ μοι ἠθείη κεφαλὴ δεῦρ' εἰλήλουθας·
καί μοι ταῦτα ἕκαστ' ἐπιτέλλεαι· αὐτὰρ ἐγώ τοι
πάντα μάλ' ἐκτελέω, καὶ πείσομαι ὡς σὺ κελεύεις·
ἀλλά μοι ἆσσον στῆθι· μίνυνθά περ ἀμφιβαλόντε
ἀλλήλους, ὀλοοῖο τεταρπώμεσθα γόοιο·
ὣς ἄρα φωνήσας ὠρέξατο χερσὶ φίλῃσιν·
οὐδ' ἔλαβε· ψυχὴ δὲ κατὰ χθονὸς ἠΰτε καπνὸς
ᾤχετο τετριγυῖα· ταφὼν δ' ἀνόρουσεν ἀχιλλεύς,
χερσί τε συμπλατάγησεν, ἔπος δ' ὀλοφυδνὸν ἔειπεν·
ὢ πόποι· ἦ ῥά τίς ἐστι καὶ εἰν ἀΐδαο δόμοισι
ψυχὴ καὶ εἴδωλον, ἀτὰρ φρένες οὐκ ἔνι πάμπαν·
παννυχίη γάρ μοι πατροκλῆος δειλοῖο
ψυχὴ ἐφεστήκει γοόωσά τε μυρομένη τε·
καί μοι ἕκαστ' ἐπέτελλεν· ἔϊκτο δὲ θέσκελον αὐτῷ·
ὣς φάτο· τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο·
μυρομένοισι δὲ τοῖσι φάνη ῥοδοδάκτυλος ἠὼς
ἀμφὶ νέκυν ἐλεεινόν· ἀτὰρ κρείων ἀγαμέμνων
οὐρῆάς τ' ὄτρυνε καὶ ἀνέρας ἀξέμεν ὕλην.

ψυχὴ καὶ εἴδωλον: ... καὶ ... πάντα ὁ πάτροκλος ... ὁ στίχος ... φρένες ... οὐ τὸ διανοητικὸν ... ὅπερ ... ὁ γραμματικός ... ψυχὰς ὁ ὅμηρος ... : — οὐρῆάς τ' ὄτρυνε· ... οὐ ... οἱ ἡμίονοι ... οὐρῆας ... οὐρῆας ὄτρυνεν ... :—

πάντοθεν ἐκ κλισιῶν· ἐπὶ δ' ἀνὴρ ἐσθλὸς ὀρώρει
Μηριόνης θεράπων ἀγαπήνορος Ἰδομενῆος.
οἱ δ' ἴσαν ὑλοτόμους πελέκεας ἐν χερσὶν ἔχοντες
σειράς τ' εὐπλέκτους· πρὸ δ' ἄρ' οὐρῆες κίον αὐτῶν·
πολλὰ δ' ἄναντα κάταντα πάραντά τε δόχμιά τ' ἦλθον·
ἀλλ' ὅτε δὴ κνημοὺς προσέβαν πολυπίδακος Ἴδης,
αὐτίκ' ἄρα δρῦς ὑψικόμους ταναήκεϊ χαλκῷ
τάμνον ἐπειγόμενοι· ταὶ δὲ μεγάλα κτυπέουσαι
πῖπτον· τὰς μὲν ἔπειτα διαπλήσσοντες Ἀχαιοὶ
ἔκδεον ἡμιόνων· ταὶ δὲ χθόνα ποσσὶ δατεῦντο
ἐλδόμεναι πεδίοιο διὰ ῥωπήια πυκνά.
πάντες δ' ὑλοτόμοι φιτροὺς φέρον· ὣς γὰρ ἀνώγει
Μηριόνης θεράπων ἀγαπήνορος Ἰδομενῆος.
κὰδ δ' ἄρ' ἐπακτῆς ἴαλλον ἐπισχερώ· ἔνθ' ἄρ' Ἀχιλλεὺς
φράσσατο Πατρόκλῳ μέγα ἠρίον ἠδὲ οἷ αὐτῷ.
αὐτὰρ ἐπεὶ πάντῃ παρακάββαλον ἄσπετον ὕλην,
εἵατ' ἄρ' αὖθι μένοντες ἀολλέες. αὐτὰρ Ἀχιλλεὺς
αὐτίκα Μυρμιδόνεσσι φιλοπτολέμοισι κέλευσε
χαλκὸν ζώννυσθαι· ζεῦξαι δ' ὑπ' ὄχεσφιν ἕκαστον
ἵππους· οἱ δ' ὄρνυντο, καὶ ἐν τεύχεσσιν ἔδυνον.
ἂν δ' ἔβαν ἐν δίφροισι παραιβάται ἡνίοχοί τε·
πρόσθε μὲν ἱππῆες, μετὰ δὲ νέφος εἵπετο πεζῶν
μυρίοι· ἐν δὲ μέσοισι φέρον Πάτροκλον ἑταῖροι·
θριξὶ δὲ πάντα νέκυν καταείνυον, ἃς ἐπέβαλλον
κειρόμενοι· ὄπιθεν δὲ κάρη ἔχε δῖος Ἀχιλλεὺς

οὕτως Ἀρίσταρχος· ἄλλοι δὲ πολυπίδακον:

τάμνον ἐπειγόμενοι· ὅτι τὸ ἐναντίον [illegible] πίπτουσαι γὰρ [illegible] παρεῖχον:—

οὕτως Ἀρίσταρχος· ἄλλοι δὲ διαπλήσσοντες Ἀχαιοί:

διαπλήσσοντες Ἀχαιοί· [illegible]:—

ἐλδόμεναι πεδίοιο· [illegible]:—

Μηριόνης θεράπων· [illegible] ὅθεν Μηριόνης:—

πάντες δ' ὑλοτόμοι· [illegible] χρῆσθαι [illegible]:—

ἐπισχερώ· [illegible]:—

Ποσειδάων [illegible]:—

[illegible]

θριξὶ δὲ πάντα νέκυν καταείνυον· [illegible]:—

πέμπ' Ἄϊδόσδε· οὕτως Ἀρίσταρχος. ἄλλοι δὲ οὐκ Ἄϊδόσδε ὁ Ἀριστοφάνης φησὶν ... τῆς καθόλου:·

κάτθεσαν, αἶψα δέ οἱ: ὅτι τινὲς τὸ μενοεικέα ... ἀπέδοσαν. ἐπὶ τὸ τοῖς ... εἰκὸς οἷον τὸ ἀρεστὸν ... καὶ ... σημαίνει:- ξανθὴν ἀπεκείρατο χαίτην: καὶ ὁ ... ἐν ἄλλαις ... μανίαις καὶ ἀπάτῃ ... ἔτρεφεν:- ἄλλως σοί γε πατὴρ ἠρήσατο Πηλεύς· ἔθος ἦν τοῖς ἀρχαίοις μετὰ τὸ παρακμάσαι ... τὰς κόμας ἀποκείρειν τοῖς ποταμοῖς· τούτους γὰρ ἐνόμιζον τῶν ἀνατροφῶν αἰτίους εἶναι. διὰ ταύτην δὲ τὴν αἰτίαν ... τὸ ... ποταμοῖς ἀπὸ τοῦ ποταμοῦ ... ἐκόμιζον τὰς ... καὶ παιδοτροφίας ... τιθέμενοι. διόπερ καὶ τὰς Ἀχιλλέως κόμας ... τούτου ... ἐκφράσας ... ἱστορία παρὰ τοῖς ... γολικοῖς συγγραφεῦσιν:-

ἄλλως σοί γε π(ατ)ήρ. ἀντὶ τοῦ μάτην ὡς καὶ Εὐριπίδης ἐν Μηδείᾳ. ἄλλως ... καὶ κατέσχον ... τοῖς ... ἄλλως. καὶ ὡς ... ἀντὶ τοῦ ματαίως ... ἄλλως. καὶ γὰρ ... κείμενον:—

ἀχνύμενος· ἕταρον γὰρ ἀμύμονα πέμπ' Ἄϊδόσδε.

οἱ δ' ὅτε χῶρον ἵκοντ', ὅθι σφίσι πέφραδ' Ἀχιλλεύς,

ϛ κάτθεσαν· αἶψα δέ οἱ μενοεικέα νήεον ὕλην.

ἔνθ' αὖτ' ἄλλ' ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς·

στὰς ἀπάνευθε πυρῆς ξανθὴν ἀπεκείρατο χαίτην,

τήν ῥα Σπερχειῷ ποταμῷ τρέφε τηλεθόωσαν·

ὀχθήσας δ' ἄρα εἶπεν ἰδὼν ἐπὶ οἴνοπα πόντον·

Σπερχεἰ', ἄλλως σοί γε πατὴρ ἠρήσατο Πηλεύς,

κεῖσέ με νοστήσαντα φίλην ἐς πατρίδα γαῖαν,

σοί τε κόμην κερέειν, ῥέξειν θ' ἱερὴν ἑκατόμβην,

πεντήκοντα δ' ἔνορχα παρ' αὐτόθι μῆλ' ἱερεύσειν

ἐς πηγάς, ὅθι τοι τέμενος βωμός τε θυήεις.

ὣς ἠρᾶθ' ὁ γέρων, σὺ δέ οἱ νόον οὐκ ἐτέλεσσας.

νῦν δ' ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα γαῖαν,

Πατρόκλῳ ἥρωϊ κόμην ὀπάσαιμι φέρεσθαι.

ὣς εἰπὼν ἐν χερσὶ κόμην ἑτάροιο φίλοιο

θῆκεν, τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο.

καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο,

ϛ εἰ μὴ Ἀχιλλεὺς αἶψ' Ἀγαμέμνονι εἶπε παραστάς·

Ἀτρεΐδη, σοὶ γάρ τε μάλιστά γε λαὸς Ἀχαιῶν

ϛ πείσονται μύθοισι, γόοιο μὲν ἔστι καὶ ἆσαι.

νῦν δ' ἀπὸ πυρκαϊῆς σκέδασον, καὶ δεῖπνον ἄνωχθι

ὅπλεσθαι· τάδε δ' ἀμφιπονησόμεθ', οἷσι μάλιστα

κήδεός ἐστι νέκυς· παρὰ δ' οἵ τ' ἀγοὶ ἄμμι μενόντων.

αὐτὰρ ἐπεὶ τό γ' ἄκουσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,

(interlinear glosses: οἱ ἥρωες ἀπ' ἄλλοις ἀχαιῶν: ἐν ἄλλ(οις) παρ' αὐτόθι ἱερ(εύσειν): φροντὶς ἐστί: οἱ μετ' αὐτοῦ ὑπάρχοντες: κηδεὸς / οἷσι μάλιστα)

εἰ μὴ Ἀχιλλεύς. ὅτι ἔξωθεν τὴν πρ(όθεσιν) ληπτέον· ἀντὶ γὰρ πρὸς Ἀγαμέμνονα. πείσονται μύθοισι. ὅτι προσθετέον ... ὁ λαὸς πείσονται:— κήδεός ἐστι νέκυς. ... γενικῆς ... ἀπὸ τοῦ κήδεος ... τὰ ὀνόματα ... κήδεος ... πλεονασμῷ ...

ὀλεθ... παρὰ τὸ ... τὸ ... κατασκευάσαι ... καὶ παρὰ τὸ ... ἡ γενικὴ ... κήδεος ... ὁμοίως ... καὶ λόχος ... καὶ ... ὄνομα ... τοῦ κήδεος τὸ παρ' αὐτὸ ὄνομα ... κήδεος ὁ συγγενὴς ...:—

παρὰ δ' οἵ τ' ἀγοὶ. τὸ ἑξῆς ἔστι ... ἐπιμελεῖς ... τῆς πενθήσεως ... ἢ γὰρ ... σύνδεσμος καὶ ... ὁ ... ἀπὸ ... παρὰ τὸ ... σημαντικὸν ... διὸ καὶ ... θεμα:—

κηδεμόνες· οἱ μάλιστα ἀνήκοντες διὰ τοῦ [illegible]:· ἑκατόμπεδον· ἑκατὸν ποδῶν ἔχουσαν τὸ μέτρον· ὥσπερ καὶ τετράποδος λίθος ὁ ἀπὸ ἑκάστης πλευρᾶς τέσσαρας πόδας μετρῶν· [illegible] τοῦτο ποιοῦντος τοῦ Ἀχιλλέως:· πρόσθε πυρῆς ἔδερον· διὰ τῶν ὑπομνημάτων διὰ τοῦ δέρειν καὶ τάχα ἀπὸ τοῦ δέρματος [illegible]:· ἐς πόδας ἐκ κεφαλῆς· τὰ [illegible] πρὸς τὴν μεγάλην [illegible]:· πρὸς λέχεα κλίνων· πίσυρας· τέσσαρας κατὰ πλευρὰν ἕνα, οἱ δὲ [illegible]· ὁ ἴσος [illegible] περιθέουσιν:—

αὐτίκα λαὸν μὲν σκέδασεν κατὰ νῆας ἐΐσας.
κηδεμόνες δὲ παρ' αὖθι μένον καὶ νήεον ὕλην.
ποίησαν δὲ πυρὴν ἑκατόμπεδον ἔνθα καὶ ἔνθα.
ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν ἀχνύμενοι κῆρ.
πολλὰ δὲ ἴφια μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς.
πρόσθε πυρῆς ἔδερόν τε καὶ ἄμφεπον. ἐκ δ' ἄρα πάντων
δημὸν ἑλὼν ἐκάλυψε νέκυν μεγάθυμος Ἀχιλλεὺς
\> ἐς πόδας ἐκ κεφαλῆς. περὶ δὲ δρατὰ σώματα νήει.
ἐν δ' ἐτίθει μέλιτος καὶ ἀλείφατος ἀμφιφορῆας
\> πρὸς λέχεα κλίνων· πίσυρας δ' ἐριαύχενας ἵππους
ἐσσυμένως ἐνέβαλλε πυρῇ μεγάλα στεναχίζων.
ἐννέα τῷ γε ἄνακτι τραπεζῆες κύνες ἦσαν.
καὶ μὲν τῶν ἐνέβαλλε πυρῇ δύο δειροτομήσας.
δώδεκα δὲ Τρώων μεγαθύμων υἱέας ἐσθλοὺς
χαλκῷ δηϊόων· κακὰ δὲ φρεσὶ μήδετο ἔργα.
ἐν δὲ πυρὸς μένος ἧκε, σιδήρεον ὄφρα νέμοιτο.
ᾤμωξέν τ' ἄρ' ἔπειτα. φίλον δ' ὀνόμηνεν ἑταῖρον·
χαῖρέ μοι ὦ Πάτροκλε καὶ εἰν Ἀΐδαο δόμοισι.
πάντα γὰρ ἤδη τοι τελέω, τὰ πάροιθεν ὑπέστην.
δώδεκα μὲν Τρώων μεγαθύμων υἱέας ἐσθλοὺς
τοὺς ἅμα σοὶ πάντας πῦρ ἐσθίει· Ἕκτορα δ' οὔ τι
\> δώσω Πριαμίδην πυρὶ δαπτέμεν, ἀλλὰ κύνεσσιν.
ὣς φάτ' ἀπειλήσας. τὸν δ' οὐ κύνες ἀμφεπένοντο.
ἀλλὰ κύνας μὲν ἄλαλκε Διὸς θυγάτηρ Ἀφροδίτη
\> ἤματα καὶ νύκτας. ῥοδόεντι δὲ χρῖεν ἐλαίῳ

ἐν ἄλλῳ τετελεσμένα ὥς περ ὑπέστην.

δαπτέμεν· τὸ δαπανᾶν.

ἐν δὲ πυρὸς μένος ἧκε· ἀμφιβολία τὴν πυρὰν καὶ πῦρ καὶ σίδηρος· τὸ δὲ νέμοιτο ἐπενθετικὸν ἀντὶ τοῦ φθείροι. φησὶ γοῦν· τοὺς ἅμα σοὶ πάντας πῦρ ἐσθίει:— δώδεκα μὲν Τρώων· ἀναφορὰν ἔχει τὸ [illegible] τὸ ἑξῆς [illegible] δώδεκα μὲν Τρώων [illegible] τοὺς [illegible] τὸ πῦρ ἐσθίει [illegible] ἀντὶ ὑποτακτικοῦ ἄρθρου:—

ἤματα καὶ νύκτας· ὅτι μόριον τὴν μὲν ὀνομασίαν ἀφαιρεῖ τὴν δὲ σκιάσασαν οἱ δέ [illegible]· τὸ γὰρ ἑξῆς [illegible] οὕτως νῦν ἐπὶ ἡμέραν ἐκ ὁδοῦ [illegible]:—

ἀποσπαράσσοι [illegible]

ἀμβροσίωι. ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων.
τῶι δ' ἐπὶ κυάνεον νέφος ἤγαγε φοῖβος ἀπόλλων
οὐρανόθεν πεδίον δέ. κάλυψε δὲ χῶρον ἅπαντα
ὅσσον ἐπεῖχε νέκυς. μὴ πρὶν μένος ἠελίοιο
σκήλει' ἀμφὶ περὶ χρόα. ἴνεσιν ἠδὲ μέλεσσιν.
οὐδὲ πυρὴ πατρόκλου ἐκαίετο τεθνειῶτος.
ἔνθ' αὖτ' ἄλλ' ἐνόησε ποδάρκης δῖος ἀχιλλεύς·
στὰς ἀπάνευθε πυρῆς. δοιοῖς ἠρᾶτ' ἀνέμοισι
βορέηι καὶ ζεφύρωι. καὶ ὑπέσχετο ἱερὰ καλά.
πολλὰ δὲ καὶ σπένδων χρυσέωι δέπαϊ λιτάνευεν.
ἐλθέμεν. ὄφρα τάχιστα πυρὶ φλεγεθοίατο νεκροί.
ὕλη τε σεύαιτο καήμεναι. ὠκέα δ' ἶρις
ἀράων ἀΐουσα. μετάγγελος ἦλθ' ἀνέμοισιν.
οἱ μὲν ἄρα ζεφύροιο δυσαέος ἀθρόοι ἔνδον
εἰλαπίνην δαίνυντο. θέουσα δὲ ἶρις ἐπέστη
βηλῶι ἔπι λιθέωι. τοὶ δ' ὡς ἴδον ὀφθαλμοῖσι.
πάντες ἀνήϊξαν. κάλεόν τέ μιν εἰς ἓ ἕκαστος.
ἡ δ' αὖθ' ἕζεσθαι μὲν ἀνήνατο. εἶπε δὲ μῦθον.
οὐχ ἕδος. εἶμι γὰρ αὖτις ἐπ' ὠκεανοῖο ῥέεθρα.
αἰθιόπων ἐς γαῖαν. ὅθι ῥέζουσ' ἑκατόμβας
ἀθανάτοισ. ἵνα δὴ καὶ ἐγὼ μεταδαίσομαι ἱρῶν.
ἀλλ' ἀχιλεὺς βορέην ἠδὲ ζέφυρον κελαδεινὸν
ἐλθεῖν ἀρᾶται. καὶ ὑπίσχεται ἱερὰ καλά.
ὄφρα πυρὴν ὄρσητε καήμεναι. ἧι ἔνι κεῖται
πάτροκλος. τὸν πάντες ἀναστενάχουσιν ἀχαιοί.

ὕλη τε σεύαιτο: ὁρμήσειε [illegible] ἀποδέον [illegible] χωρὶς δὲ τοῦ τε τὸ ὕλη τε σεύαιτο ἀντὶ τοῦ ὁρμήσαι οἱ ἄνεμοι καὶ [illegible] τὴν ὕλην:-

δυσαέος· οὐ κακῶς [illegible] ὅτι γὰρ [illegible] δυσαής θέρους δὲ [illegible]:-

κεῖμεν· ἀρ. ὣς ἄρα φωνήσασ' ἀπεβήσετο· τοὶ δ' ὀρέοντο
ἠχῇ θεσπεσίῃ, νέφεα κλονέοντε πάροιθεν.
αἶψα δὲ πόντον ἵκανον ἀήμεναι, ὦρτο δὲ κῦμα πνείειν
πνοιῇ ὕπο λιγυρῇ (λιγεία)· Τροίην δ' ἐρίβωλον ἱκέσθην.
ἐν δὲ πυρῇ πεσέτην, μέγα δ' ἴαχε θεσπιδαὲς πῦρ.
παννύχιοι δ' ἄρα τοί γε πυρῆς ἄμυδις φλόγ' ἔβαλλον τῇ πυρᾷ ἔβαλλον
φυσῶντες λιγέως· ὁ δὲ πάννυχος ὠκὺς Ἀχιλλεὺς
χρυσέου ἐκ κρητῆρος ἑλὼν δέπας ἀμφικύπελλον. ἐκπώματος
οἶνον ἀφυσσόμενος χαμάδις χέε, δεῦε δὲ γαῖαν,
> ψυχὴν κικλήσκων Πατροκλῆος δειλοῖο.
ὡς δὲ πατὴρ οὗ παιδὸς ὀδύρεται ὀστέα καίων
νυμφίου, ὅς τε θανὼν δειλοὺς ἀκάχησε τοκῆας.
ὣς Ἀχιλεὺς ἑτάροιο ὀδύρετο ὀστέα καίων
ἑρπύζων παρὰ πυρκαϊήν, ἁδινὰ στεναχίζων.
> ἦμος δ' ἑωσφόρος εἶσι φόως ἐρέων ἐπὶ γαῖαν,
ὅν τε μέτα κροκόπεπλος ὑπεὶρ ἅλα κίδναται ἠώς,
τῆμος πυρκαϊὴ ἐμαραίνετο, παύσατο δὲ φλόξ.
οἱ δ' ἄνεμοι πάλιν αὖτις ἔβαν οἶκόνδε νέεσθαι
Θρηΐκιον κατὰ πόντον· ὁ δ' ἔστενεν οἴδματι θυίων.
Πηλεΐδης δ' ἀπὸ πυρκαϊῆς ἑτέρωσε λιασθεὶς
κλίνθη κεκμηώς· ἐπὶ δὲ γλυκὺς ὕπνος ὄρουσεν·
οἱ δ' ἀμφ' Ἀτρεΐωνα ἀολλέες ἠγερέθοντο·
τῶν μιν ἐπερχομένων ὅμαδος καὶ δοῦπος ἔγειρεν·
ἕζετο δ' ὀρθωθεὶς καί σφεας πρὸς μῦθον ἔειπεν·
Ἀτρεΐδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν.

ψυχὴν κικλήσκων· ὅπ(ως) δ(ὲ) [illegible] καὶ [illegible]:—
Νυμφίου· δηλοῖ ἡ λέξις ὅτι ταῦτα καὶ τὸ [illegible] παιδὸς νυμφίον ἐν μεγάροισι [illegible] παῖδα μὲν πάντα:

ὣς Ἀχιλεὺς ἑτάροιο [illegible] καὶ [illegible] πυρκαϊήν· μᾶλλον γὰρ [illegible]:—

Ἦμος δ' ἑωσφόρ(ος) εἶσι· [illegible] εἰκὸς ἐρέων ἀντὶ τοῦ ἀπαγγέλ(λων)· τοῦτο δὲ ἐστὶ προσθήκη [illegible] οὐ γὰρ [illegible] ἅμα δὲ [illegible]:—

Ἑωσφόρος, ὁ κατὰ τὴν ἡμέραν ἀνατέλλων λαμπρότατος ἀστὴρ ὃς καὶ ἕσπερος καλεῖται· οὗτος δ' ἐστὶν ὁ τῆς Ἀφροδίτης:—

Ἐπὶ δὲ γλυκὺς ὕπνος ὄρουσε· διὰ τοῦ ὄρουσε τὸ ταχέως ἐνεφάνισε τοῦ ὕπνου διὰ τὸ πολλὰ [illegible] ἀγρυπνίαν· [illegible] ἐπιπολῆς ὁ ὕπνος:—

ρπϛ

πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσατ' αἴθοπι οἴνῳ
πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸς μένος· αὐτὰρ ἔπειτα
ὀστέα Πατρόκλοιο Μενοιτιάδαο λέγωμεν
εὖ διαγιγνώσκοντες· ἀριφραδέα δὲ τέτυκται·
ἐν μέσσῃ γὰρ ἔκειτο πυρῇ, τοὶ δ' ἄλλοι ἄνευθεν
ἐσχατιῇ καίοντ' ἐπιμὶξ ἵπποι τε καὶ ἄνδρες.
καὶ τὰ μὲν ἐν χρυσέῃ φιάλῃ καὶ δίπλακι δημῷ
θείομεν, εἰς ὅ κεν αὐτὸς ἐγὼν Ἄϊδι κεύθωμαι. (ἐναλλ. αὐτὸς ἰὼν)
τύμβον δ' οὐ μάλα πολλὸν ἐγὼ πονέεσθαι ἄνωγα,
ἀλλ' ἐπιεικέα τοῖον· ἔπειτα δὲ καὶ τὸν Ἀχαιοὶ
εὐρύν θ' ὑψηλόν τε τιθήμεναι, οἵ κεν ἐμεῖο
δεύτεροι ἐν νήεσσι πολυκλήϊσι λίπησθε.
ὣς ἔφαθ'· οἱ δ' ἐπίθοντο ποδώκεϊ Πηλεΐωνι.
πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν αἴθοπι οἴνῳ
ὅσσον ἐπὶ φλὸξ ἦλθε, βαθεῖα δὲ κάππεσε τέφρη· (ἐναλλ. κάππεσ' ὕλη)
κλαίοντες δ' ἑτάροιο ἐνηέος ὀστέα λευκὰ
ἄλλεγον ἐς χρυσέην φιάλην καὶ δίπλακα δημόν,
ἐν κλισίῃσι δὲ θέντες ἑανῷ λιτὶ κάλυψαν·
(κυκλώσαντο ἔγραψαν)
τορνώσαντο δὲ σῆμα, θεμείλιά τε προβάλοντο
ἀμφὶ πυρήν· εἶθαρ δὲ χυτὴν ἐπὶ γαῖαν ἔχευαν,
χεύαντες δὲ τὸ σῆμα πάλιν κίον. αὐτὰρ Ἀχιλλεὺς
αὐτοῦ λαὸν ἔρυκε, καὶ ἵζανεν εὐρὺν ἀγῶνα,
νηῶν δ' ἔκφερ' ἄεθλα, λέβητάς τε τρίποδάς τε
ἵππους θ' ἡμιόνους τε βοῶν τ' ἴφθιμα κάρηνα,
ἠδὲ γυναῖκας ἐϋζώνους πολιόν τε σίδηρον.

Scholia (left margin):

καὶ δίπλακι δημῷ θείομεν· δημῷ τὰ ὀστᾶ καλύψαντες [illegible] λιπαινόμενα μὴ [illegible]:–

θείομεν εἰς ὅ κεν αὐτὸς ἐγὼν· ὁ. ὃν μὲν [illegible] ἀντὶ τοῦ [illegible] ἀντὶ τοῦ [illegible] οἷον ποθέομαι:·

δεύτεροι ὕστεροι· καὶ δεύτατος ἦλθεν ἀντὶ τοῦ ἔσχατος:–

ἑανῷ λιτὶ κάλυψαν· [illegible] πᾶσαν [illegible] ἐσθῆτα [illegible]:–

ἀμφὶ πυρὴν εἶθαρ δέ. ὁ. οὕτω [illegible] χυτὴν [illegible] χεομένην:–

+ θῆκε γυναῖκα: πρὸς τὴν ἀμφιβολίαν πότερ' ἀμύμονα γυναῖκα ἢ ἀμύμονα ἔργα. καὶ ὅτι [illegible] τῷ καὶ τρίποδ' ὠτώεντα τὸ φέρεσθαι· ἀρκεῖ [illegible] ὁ ποιητὴς [illegible] τὰ αὐτὰ καὶ φορητά:

ἑξέτε' ἀδμήτην: ὁ Ἀσκαλωνίτης ἐνθάδε προπαροξύνει [illegible] ὅτι [illegible] μόνος [illegible] καὶ [illegible] ἡ παράδοσις. [illegible] προσῳδίας:– αὐτὰρ τῷ τριτάτῳ: σημειοῦνταί τινες ὅτι [illegible] ἄπυρον [illegible] ἐμπυριβήτου:– τῷ δὲ τετάρτῳ θῆκε: ὅτι οὐκ ἴσον τοῖς καθ' ἡμᾶς ταλάντοις καὶ παρὰ τοῖς ἀρχαίοις [illegible] ἵππου τοῦ τρίποδος καὶ τοῦ ἵππου [illegible] τίθεται· τὸ δὲ τάλαντον [illegible] δραχμὰς [illegible] τὸ δὲ παλαιὸν [illegible] δεκατέσσαρον τίμημα δὲ [illegible] τέσσαρον:– πέμπτῳ δ' ἀμφίθετον: ὁ φιάλην, οὔτε παρὰ [illegible] ποτήριον, ἀλλ' [illegible] λέβητα [illegible] ἐκ παντὸς μέρους δυνάμενον ἔχειν διὸ ἀμφίθετον:

ἱππεῦσιν μὲν πρῶτα ποδώκεσιν ἀγλαὰ ἄεθλα
θῆκε γυναῖκα ἄγεσθαι ἀμύμονα ἔργ' εἰδυῖαν.
καὶ τρίποδ' ὠτώεντα δύω καὶ εἰκοσίμετρον
τῷ πρώτῳ· ἀτὰρ αὖ τῷ δευτέρῳ ἵππον ἔθηκεν
ἑξέτε' ἀδμήτην, βρέφος ἡμίονον κυέουσαν·
αὐτὰρ τῷ τριτάτῳ ἄπυρον κατέθηκε λέβητα
καλὸν τέσσαρα μέτρα κεχανδότα λευκὸν ἔτ' αὔτως·
τῷ δὲ τετάρτῳ θῆκε δύω χρυσοῖο τάλαντα·
πέμπτῳ δ' ἀμφίθετον φιάλην ἀπύρωτον ἔθηκε.
στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
Ἀτρεΐδη τε καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί.
ἱππῆας τάδ' ἄεθλα δεδεγμένα κεῖτ' ἐν ἀγῶνι.
εἰ μὲν νῦν ἐπὶ ἄλλῳ ἀεθλεύοιμεν Ἀχαιοί.
ἦ τ' ἂν ἐγὼ τὰ πρῶτα λαβὼν κλισίηνδε φεροίμην.
ἴστε γὰρ ὅσον ἐμοὶ ἀρετῇ περιβάλλετον ἵπποι· (ὑπερβάλλουσιν)
ἀθάνατοί τε γάρ εἰσι, Ποσειδάων δὲ πόρ' αὐτοὺς
πατρὶ ἐμῷ Πηλῆϊ, ὃ δ' αὖτ' ἐμοὶ ἐγγυάλιξεν.
ἀλλ' ἤτοι μὲν ἐγὼ μενέω καὶ μώνυχες ἵπποι.
τοίου γὰρ κλέος ἐσθλὸν ἀπώλεσαν ἡνιόχοιο.
ἠπίου, ὅ σφωϊν μάλα πολλάκις ὑγρὸν ἔλαιον
χαιτάων κατέχευε λοέσσας ὕδατι λευκῷ.
τὸν τώ γ' ἑσταότε πενθείετον· οὔδεϊ δέ σφι
χαῖται ἐρηρέδαται· τὼ δ' ἕστατον ἀχνυμένω κῆρ.
ἄλλοι δὲ στέλλεσθε (ἐντρεπίζεσθε) κατὰ στρατόν, ὅστις Ἀχαιῶν

ἱππῆας τάδ' ἄεθλα: ὅτι τὰ δεδεγμένα ἀντὶ τοῦ προσδεχόμενα κατὰ μεταφορὰν [illegible] πᾶσι τάδ' ἄεθλα:– ἴστε γὰρ ὅσσον ἐμοί: [illegible] συνοίδατε [illegible]:–

† ὦ ἄλλοι ἀριστεῖς Πανελλήνων:

διὰ ἀριστέως δεδεγμένα δεδεγμένα:–

ὁ ἡνίοχος Πάτροκλος λέγει:

ἠπίου ὅ σφωϊν: [illegible] τὴν σφῶϊν ἀντωνυμίαν ἀναγνωστέον· ἔστι γὰρ τρίτου προσώπου οὐ [illegible] σὺ ὦ σφῶϊ [illegible] φορήσατο:– ὑγρὸν ἔλαιον: ἤτοι τὸ σωμάτων [illegible] ἢ τὸ ἐν ὑγρότητι διαφυλάττον καὶ μὴ ἐῶν ξηραίνεσθαι. ἢ ὅτι τὸ ἔλαιον οὐ καταπήγνυται [illegible] ἐν [illegible] τὸ θέρμ. [illegible] τὴν κεφαλὴν τοῦ ἵππου [illegible] ὕδατι [illegible] καὶ τὸ [illegible] τέως δὲ [illegible] τὸ παλαιὸν [illegible]:–
ἄλλοι δὲ στέλλεσθε: [illegible] προσδέχεσθαι [illegible]:–

ὣς φάτο Πηλεΐδης ταχέες: οὕτως Ἀρίσταρχος διὰ τοῦ ε̄ ... ἵππους δὲ Τρωούς ... [illegible]

ἵπποισίν τε πέποιθε καὶ ἅρμασι κολλητοῖσιν.
ὣς φάτο Πηλεΐδης. ταχέες δ' ἱππῆες ἄγερθεν.
ὦρτο πολὺ πρῶτος μὲν ἄναξ ἀνδρῶν Εὔμηλος
Ἀδμήτου φίλος υἱός· ὃς ἱπποσύνῃ ἐκέκαστο·
τῷ δ' ἐπὶ Τυδεΐδης ὦρτο κρατερὸς Διομήδης·
ἵππους δὲ τρωΐους ὕπαγε ζυγόν· οὕς ποτ' ἀπηύρα
Αἰνείαν· ἀτὰρ αὐτὸν ὑπεξεσάωσεν Ἀπόλλων·
τῷ δ' ἄρ' ἐπ' Ἀτρεΐδης ὦρτο ξανθὸς Μενέλαος
διογενής. ὑπὸ δὲ ζυγὸν ἤγαγεν ὠκέας ἵππους
Αἴθην τὴν Ἀγαμεμνονέην. τὸν ἑόν τε Πόδαργον·
τὴν Ἀγαμέμνονι δῶκ' Ἀγχισιάδης Ἐχέπωλος
δῶρ', ἵνα μή οἱ ἕποιθ' ὑπὸ Ἴλιον ἠνεμόεσσαν.
ἀλλ' αὐτοῦ τέρποιτο μένων· μέγα γάρ οἱ ἔδωκε
Ζεὺς ἄφενος. ναῖεν δ' ὅ γ' ἐν εὐρυχόρῳ Σικυῶνι·
τὴν ὅ γ' ὑπὸ ζυγὸν ἦγε μέγα δρόμου ἰσχανόωσαν·
Ἀντίλοχος δὲ τέταρτος ἐΰτριχας ὡπλίσαθ' ἵππους·
Νέστορος ἀγλαὸς υἱὸς ὑπερθύμοιο ἄνακτος
τοῦ Νηληϊάδαο· πυλοιγενέες δέ οἱ ἵπποι
ὠκύποδες φέρον ἅρμα· πατὴρ δέ οἱ ἄγχι παραστὰς
μυθεῖτ' εἰς ἀγαθά, φρονέων νοέοντι καὶ αὐτῷ·
Ἀντίλοχ', ἤτοι μέν σε νέον περ ἐόντ' ἐφίλησαν
Ζεύς τε Ποσειδάων τε· καὶ ἱπποσύνας ἐδίδαξαν
παντοίας· τὼ καί σε διδασκέμεν οὔ τι μάλα χρεώ·
οἶσθα γὰρ ὦ περὶ τέρμαθ' ἑλισσέμεν· ἀλλάτοι ἵπποι

Αἴθην τὴν Ἀγαμεμνονέην: ὄνομα τῆς ἵππου ... [illegible] ... κυρίως τὸ ὄνομα ... [illegible]

τὴν Ἀγαμέμνονι: ὅτι ... [illegible] ... δῶρ' ἵνα μή οἱ ... [illegible]

ὠκύποδες φέρον ἅρμα: ... [illegible]

μυθεῖτ' εἰς ἀγαθὰ φρονέων: ... [illegible] ... νοέοντι καὶ αὐτῷ.

νέον περ ἐόντ' ἐφίλησαν: ... [illegible] ... οὐκ ἀπὸ τοῦ ... [illegible]

Ζεύς τε Ποσειδάων τε: ὅτι Ζηνόδοτος γράφει ἐδίδαξαν ... [illegible] ... ἐδίδαξαν ... [illegible] ἱππείοισιν.

τῶν δ' ἵπποι μὲν ἔασιν· πρὸ τοῦ ἀφάρτεροι ὁ ἅπαξ εἴρηται καὶ σχηματίζει παρὰ τὸ ἄφαρ ὃ δηλοῖ ταχέως. μήτι δ' αὖτε· τῇ γὰρ καὶ διαφέρομεν [illegible] σαφέστερον ποιοῦμεν τὸν λόγον. ἐρεχθομένην· σειομένην ἤτοι ἐρεθιζομένην ἀπὸ [illegible] ἐρέχθειν ἀντὶ τοῦ ἐρέθειν. ἢ σειομένην ἀντὶ τοῦ [illegible]:—

βάρδιστοι θείειν· τῷ τ' οἴω λοίγι' ἔσεσθαι. οὐ θεῖν [illegible]
> τῶν δ' ἵπποι μὲν ἔασιν ἀφάρτεροι, οὐδὲ μὲν αὐτοὶ·
πλείονα ἴσασιν σέθεν αὐτοῦ μητίσασθαι.
ἀλλ' ἄγε δὴ σὺ φίλος μῆτιν ἐμβάλλεο θυμῷ
παντοίην, ἵνα μή σε παρεκπροφύγῃσιν ἄεθλα.
μήτι τοι δρυτόμος μέγ' ἀμείνων ἠὲ βίηφι·
μήτι δ' αὖτε κυβερνήτης ἐνὶ οἴνοπι πόντῳ
νῆα θοὴν ἰθύνει ἐρεχθομένην ἀνέμοισι·
μήτι δ' ἡνίοχος περιγίγνεται ἡνιόχοιο.
ἀλλ' ὃς μέν θ' ἵπποισι καὶ ἅρμασιν οἷσι πεποιθὼς
ἀφραδέως ἐπὶ πολλὸν ἑλίσσεται ἔνθα καὶ ἔνθα,
ἵπποι δὲ πλανόωνται ἀνὰ δρόμον, οὐδὲ κατίσχει·
ὃς δέ κε κέρδεα εἰδῇ, ἐλαύνων ἥσσονας ἵππους,
αἰεὶ τέρμ' ὁρόων στρέφει ἐγγύθεν, οὐδέ ἑ λήθει
ὅππως τὸ πρῶτον τανύσῃ βοέοισιν ἱμᾶσιν·
ἀλλ' ἔχει ἀσφαλέως καὶ τὸν προὔχοντα δοκεύει.
σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδές, οὐδέ σε λήσει.
ἕστηκε ξύλον αὖον ὅσον τ' ὄργυι' ὑπὲρ αἴης. ἐν τισὶ [illegible]
ἢ δρυὸς ἢ πεύκης· τὸ μὲν οὐ καταπύθεται ὄμβρῳ·
λᾶε δὲ τοῦ ἑκάτερθεν ἐρηρέδαται δύο λευκὼ
ἐν ξυνοχῇσιν ὁδοῦ· λεῖος δ' ἱππόδρομος ἀμφίς·
ἤ τευ σῆμα βροτοῖο πάλαι κατατεθνειῶτος·
ἢ τό γε νύσσα τέτυκτο ἐπὶ προτέρων ἀνθρώπων·
καὶ νῦν τέρματ' ἔθηκε ποδάρκης δῖος Ἀχιλλεύς·
τῷ σὺ μάλ' ἐγχρίμψας (ἐμπελάσας) ἐλάαν σχεδὸν ἅρμα καὶ ἵππους.

ἀλλ' ὃς μέν θ' ἵπποισι· [illegible] τὸ ἄσ[illegible] ἐστι γὰρ [illegible] ὁ ἀσκόπως [illegible] ἀντὶ γοῦν μέντοι ἀλλ' ὃς [illegible] οὐ παραδέχεται τὸ ἄεθλον:— ὃς δέ κε κέρδεα εἰδῇ· κέρδη [illegible] ἤτοι γὰρ [illegible] τὸ εἰδῇ [illegible] ἵππων [illegible] ὀφείλει:— ἕστηκε ξύλον αὖον· [illegible] καὶ [illegible] προ[illegible] δὲ καὶ [illegible]. ἐν ξυνοχῇσιν ὁδοῦ· [illegible] φησὶ γὰρ τὴν καμπτῆρα [illegible] καὶ [illegible] τοῦτο γὰρ συνοχὰς εἴρηκεν [illegible] εἶναι τὸ πλησιον [illegible] τοῦ καμπτῆρος χωρίον [illegible] δρόμον [illegible] τέρματ' Ἀχιλλεὺς [illegible] τὸ σῆμα [illegible] πέρας:—

† ἦκ' ἐπ' ἀριστερὰ τοῖιν: καλῶς οἰκονομεῖ· τὸν γὰρ ἵππον δεξιὸν φησὶ καὶ αὐτὸν ἐπ' ἀριστερὸν κλιθῆναι:—
ὡς ἄν τοι πλήμνη γε δοάσσεται: ἐν δὲ τοῖς καμπτῆρσιν ὁ ἀριστερὸς ἵππος οὕτως ἐμπελασάτω ἀκριβῶς ὥστε τὴν χνόην τοῦ τροχοῦ ἐπιφέρειαν δόξαι ψαύειν τῆς χοινικίδος· τοῦτο δὲ παρ' ἄκρον δοκεῖ ὁ παρὰ τὸν καμπτῆρα τροχός:—

τὸ πλῆρες ἐπ' ἦκα

αὐτὸς δὲ κλινθῆναι ἐϋπλέκτῳ ἐνὶ δίφρῳ
ἦκ' ἐπαριστερὰ τοῖιν· ἀτὰρ τὸν δεξιὸν ἵππον
κένσαι ὁμοκλήσας, εἶξαί τέ οἱ ἡνία χερσίν. (τὸ εἶξαι, τὸ χαλάσαι)
ἐν νύσσῃ δέ τοι ἵππος ἀριστερὸς ἐγχριμφθήτω,
ὡς ἄν τοι πλήμνη γε δοάσσεται ἄκρον ἱκέσθαι
κύκλου ποιητοῖο· λίθου δ' ἀλέασθαι ἐπαυρεῖν, (ψαλαθεῖν)
μή πως ἵππους τε τρώσῃς, κατά θ' ἅρματα ἄξῃς·
χάρμα δὲ τοῖς ἄλλοισιν, ἐλεγχείη δὲ σοὶ αὐτῷ
ἔσσεται· ἀλλὰ φίλος φρονέων πεφυλαγμένος εἶναι.
εἰ γάρ κ' ἐν νύσσῃ γε παρεξελάσῃσθα διώκων,
οὐκ ἔσθ' ὅς κέ σ' ἕλῃσι μετάλμενος, οὐδὲ παρέλθοι· (τὸ αὐτοῖ, ἀνέλαυσε)
οὐδ' εἴ κεν μετόπισθεν ἀρίονα δῖον ἐλαύνοι,
ἀδρήστου ταχὺν ἵππον, ὃς ἐκ θεόφιν γένος ἦεν,
ἢ τοὺς λαομέδοντος, οἳ ἐνθάδε γ' ἔτραφεν ἐσθλοί.
ὣς εἰπὼν νέστωρ νηλήϊος, ἂψ ἐνὶ χώρῃ
ἕζετ', ἐπεὶ ᾧ παιδὶ ἑκάστου πείρατ' ἔειπε.
μηριόνης δ' ἄρα πέμπτος ἐΰτριχας ὁπλίσαθ' ἵππους.
ἂν δ' ἔβαν ἐς δίφρους, ἐν δὲ κλήρους ἐβάλοντο·
πάλλ' ἀχιλεύς, ἐκ δὲ κλῆρος θόρε νεστορίδαο
ἀντιλόχου· μετὰ τὸν δ' ἔλαχε κρείων εὔμηλος·
τῷ δ' ἄρ' ἐπ' ἀτρεΐδης δουρικλειτὸς μενέλαος·
τῷ δ' ἐπὶ μηριόνης λάχ' ἐλαυνέμεν· ὕστατος αὖτε
τυδεΐδης, ὄχ' ἄριστος ἐών, λάχ' ἐλαυνέμεν ἵππους.
※ στὰν δὲ μεταστοιχί· σήμηνε δὲ τέρματ' ἀχιλλεὺς
τηλόθεν ἐν λείῳ πεδίῳ· παρὰ δὲ σκοπὸν εἷσεν

οὐδ' εἴ κεν μετόπισθεν: Ποσειδῶν ἐρασθεὶς Ἐρινύος καὶ μεταβαλὼν τὴν αὐτοῦ φύσιν εἰς ἵππον ἐμίγη κατὰ Βοιωτίαν παρὰ τῇ Τιλφούσῃ κρήνῃ· ἡ δὲ ἔγκυος γενομένη ἵππον ἐγέννησεν, ὃς διὰ τὸ κρατιστεύειν ἄριον ἐκλήθη. Κοπρεὺς δὲ Ἁλιάρτου βασιλεύων πόλεως Ὀγχηστίου ἔλαβε δῶρον αὐτὸν παρὰ Ποσειδῶνος. ὁ δὲ αὐτὸν Ἡρακλεῖ ἐχαρίσατο γενομένῳ πρὸς αὐτόν. τούτῳ δὲ διαγωνισάμενος Ἡρακλῆς πρὸς Κύκνον τὸν Ἄρεως υἱὸν κατὰ ἱππόδρομον ἐνίκησεν ἐν τῷ τοῦ Παγασαίου Ἀπόλλωνος ἱερῷ. ὕστερον δὲ ὁ αὐτὸς Ἡρακλῆς Ἀδράστῳ τὸν πῶλον παρέσχεν. ἐφ' οὗ μόνος ὁ Ἄδραστος ἐκ τοῦ Θηβαϊκοῦ πολέμου διεσώθη, τῶν ἄλλων ἀπολομένων. ἡ ἱστορία παρὰ τοῖς Κυκλικοῖς:—

στὰν δὲ μεταστοιχί: ἀντὶ τοῦ ἐπὶ στίχον· οὐ γὰρ ἀπὸ ταὐτοῦ τέρματος ὥσπερ ἐπὶ τῶν δρομέων ἡ ἄφεσις γίνεται. διὸ καὶ κληροῦνται περὶ τῆς ἀφέσεως· οὐ δέοντος οὖν ἐπὶ τῶν δρομέων μετάκειται ὁ στίχος ἐντεῦθεν:—

† ὡς μεμνέῳτο δρόμους· ὥσπερ ἐξ ὑπομνηστέον τὸ μεμνέῳτο. γράφεται δὲ καὶ σὺν τῷ ι τὸ ω. οὕτως δὲ ἐξ ὁ ἀσκαλωνίτης ἐκ τοῦ μεμνέῳτο ... παρακείμενος ... ἐκ ... σχηματισμοῦ καὶ προπερισπωμένου παιδείας πρώτου ... ἀλλὰ τὰ τοιαῦτα ... μάλιστα τὸ ... μεμνῷτο ... προκειμένου ... παρακειμένου ... ἐν ... ἑτέροις μέντοι ... τοῦ σχηματισμοῦ ... καὶ ... περισπωμένου ... καὶ ... θέματος ... ποιητικῆς ... τῆς ... θέσεως:—

ἀντίθεον φοίνικα, ὀπάονα πατρὸς ἑοῖο. — ἀφ᾽ ὁμοῦ ἐπ᾽ ἀριστερᾷ:

ὡς μεμνέῳτο δρόμους. καὶ ἀληθείην ἀποείποι.

ἐφ᾽ ἅμα· οἱ δ᾽ ἅμα πάντες ἐφ᾽ ἵπποιιν μάστιγας ἄειραν.

πέπληγόν θ᾽ ἱμᾶσιν. ὁμόκλησάν τ᾽ ἐπέεσσιν

ζ ἐσσυμένως. οἱ δ᾽ ὦκα διέπρησσον πεδίοιο — διέπρησσον ἀντὶ τοῦ διεπέρων:

νόσφι νεῶν ταχέως. ὑπὸ δὲ στέρνοισι κονίη

ἵστατ᾽ ἀειρομένη. ὥστε νέφος. ἠὲ θύελλα.

χαῖται δ᾽ ἐρρώοντο μετὰ πνοιῇς ἀνέμοιο.

ἅρματα δ᾽ ἄλλοτε μὲν χθονὶ πίλνατο πουλυβοτείρῃ.

ἄλλοτε δ᾽ ἀΐξασκε μετήορα· τοὶ δ᾽ ἐλατῆρες

ἕστασαν ἐν δίφροισι. πάτασσε δὲ θυμὸς ἑκάστου

νίκης ἱεμένων. κέκλοντο δὲ οἷσιν ἕκαστος

> ἵπποις. οἱ δ᾽ ἐπέτοντο κονίοντες πεδίοιο. — ἐπέτοντο ἀντὶ τοῦ ἔτρεχον:

ἀλλ᾽ ὅτε δὴ πύματον τέλεον δρόμον ὠκέες ἵπποι

ἡ πλείων ἔφοδος ἐξ ... — ἂψ ἐφ᾽ ἁλὸς πολιῆς. τότε δὴ ἀρετή γε ἑκάστου

φαίνετ᾽. ἄφαρ δ᾽ ἵπποισι τάθη δρόμος· ὦκα δ᾽ ἔπειτα

αἱ φηρητιάδαο ποδώκεες ἔκφερον ἵπποι.

τὰς δὲ μετ᾽ ἐξέφερον διομήδεος ἄρσενες ἵπποι

τρώϊοι. οὐδέ τι πολλὸν ἄνευθ᾽ ἔσαν. ἀλλὰ μάλ᾽ ἐγγύς.

αἰεὶ γὰρ δίφρου ἐπιβησομένοισιν ἐΐκτην.

πνοιῇ δ᾽ εὐμήλοιο μετάφρενον. εὐρέε τ᾽ ὤμω

θέρμετ᾽· ἐπ᾽ αὐτῷ γὰρ κεφαλὰς καταθέντε πετέσθην.

καί νύ κεν ἢ παρέλασσ᾽ ἢ ἀμφήριστον ἔθηκεν.

εἰ μὴ τυδέος υἷϊ κοτέσσατο φοῖβος ἀπόλλων.

ὅς ῥά οἱ ἐκ χειρῶν ἔβαλεν μάστιγα φαεινήν.

τὰς δὲ μετ᾽· οὐ καταστρέψεων ... μετὰ ... ἀγαθὸς τοῦ ... εἰ μὴ τυδέος υἷϊ· δῆλον ὅτι ... ὁ ἀπόλλων ... προνοίᾳ ... αὐτὸς ... ἔθρεψε ... κατὰ τὸν ποιητὴν ... πιερίῃ θρέψ᾽ ἀργυρότοξος ἀπόλλων ... ἄμφω θηλείας φόβον ἄρηος φορεούσας ... διὰ τοῦτο ... ἀπόλλων ... ἀδμήτου ... πατρὶ ... ἐν ... διὰ τὸ θεραπεύειν ... ἀδμήτου:—

ὀδυνωμένου / χωομένου

τοῖο δ' ἀπ' ὀφθαλμῶν χύτο δάκρυα χωομένοιο.
οὕνεκα τὰς μὲν ὅρα ἔτι καὶ πολὺ μᾶλλον ἰούσας.
οἱ δέ οἱ ἐβλάφθησαν. ἄνευ κέντροιο θέοντες.
οὐδ' ἄρ' Ἀθηναίην ἐλεφηράμενος λάθ' Ἀπόλλων (ἤγουν ἀπατήσας βλάψας)
Τυδεΐδην. μάλα δ' ὦκα μετέσσυτο ποιμένα λαῶν.
δῶκε δέ οἱ μάστιγα. μένος δ' ἵπποισιν ἐνῆκεν.
ἣ δὲ μετ' Ἀδμήτου υἱὸν κοτέουσ' ἐβεβήκει.
ἵππειον δέ οἱ ἦξε θεὰ ζυγόν. αἱ δέ οἱ ἵπποι
ἀμφὶς ὁδοῦ δραμέτην. ῥυμὸς δ' ἐπὶ γαῖαν ἐλύσθη.
αὐτὸς δ' ἐκ δίφροιο παρὰ τροχὸν ἐξεκυλίσθη.
ἀγκῶνας περιδρύφθη. στόμα τε. ῥῖνάς τε. (περιεθραύσθη)
θρυλίχθη δὲ μέτωπον ἐπ' ὀφρύσι. τὼ δέ οἱ ὄσσε
δακρυόφιν πλῆσθεν. θαλερὴ δέ οἱ ἔσχετο φωνή.
Τυδεΐδης δὲ παρατρέψας ἔχε μώνυχας ἵππους.
πολλὸν τῶν ἄλλων ἐξάλμενος. ἐν γὰρ Ἀθήνη
ἵπποις ἧκε μένος. καὶ ἐπ' αὐτῷ κῦδος ἔθηκε.
τῷ δ' ἄρ' ἐπ' Ἀτρεΐδης εἶχε ξανθὸς Μενέλαος.
Ἀντίλοχος δ' ἵπποισιν ἐκέκλετο πατρὸς ἑοῖο.
ἔμβητον. καὶ σφῶϊ τιταίνετον ὅττι τάχιστα.
ἤτοι μὲν κείνοισιν ἐριζέμεν οὔ τι κελεύω
Τυδεΐδεω ἵπποισι δαΐφρονος. οἷσιν Ἀθήνη
νῦν ὤρεξε τάχος. καὶ ἐπ' αὐτῷ κῦδος ἔθηκεν.
ἵππους δ' Ἀτρεΐδαο κιχάνετε. μηδὲ λίπησθον.
καρπαλίμως. μὴ σφῶϊν ἐλεγχείην καταχεύῃ
Αἴθη θῆλυς ἐοῦσα. τίη λείπεσθε φέριστοι.

οἱ δέ οἱ ἐβλάφθησαν· ὁ Ἀσκαλωνίτης ἐκ δύο λέξεων τὸ πρῶτον εἶναι καὶ μεταλαμβάνει ἀντὶ τοῦ ἴδιοι καὶ μὴ ἕτεροι. ὥσπερ φαμὲν οἱ ἐμοὶ ἐβλάφθησαν ἵπποι· οἱ σοὶ ἐβλάφθησαν· οὕτως οἱ οἱ ἐβλάφθησαν τουτέστιν οἱ αὐτοῦ. τὴν δὲ μέντοι ἐγκλινομένην [illegible] καὶ Ἀρίσταρχος [illegible] ἀντωνυμίαν πολλάκις [illegible] μεταλαμβάνει. [illegible] ἀναφέρεται· οὐ κεῖται ἐκ δύο [illegible] καὶ [illegible] [illegible] ὁμοίως τὸ οἱ δέ οἱ ἵπποι [illegible] καὶ [illegible] ἀντὶ γενικῆς καὶ [illegible] αὐτῆς [illegible]:—

κοτέουσα

ὃ τυδεΐδης / ἀντὶ γενικῆς / [illegible]

— Τυδεΐδεω ἵπποισι· ἀπὸ κοινοῦ τὸ οἱ δύο [illegible] γὰρ τὸ εἰς τῆς Ἀθηνῆς [illegible] οἱ δὲ [illegible] καὶ τὸ Τυδεΐδεω ἵπποισι δηλονότι [illegible] ὁ λόγος:— ἵππους δ' Ἀτρεΐδαο· τὸ ἑξῆς κιχάνετε καρπαλίμως· τὰ δὲ ἄλλα διὰ μέσου:—
— καρπαλίμως· ὁ σφῶϊν [illegible]. ἀπὸ δὲ ἔμβητον καὶ σφῶϊ τιταίνετον ἀντὶ τοῦ [illegible]:—

ὧδε γὰρ ἐξερέω. καὶ μὴν τετελεσμένον ἔσται·
> οὐ σφῶϊν κομιδὴ παρὰ Νέστορι ποιμένι λαῶν
ἔσσεται· αὐτίκα δ᾽ ὔμμε κατακτενεῖ ὀξέϊ χαλκῷ.
> αἴ κ᾽ ἀποκηδήσαντε φερώμεθα. χεῖρον ἄεθλον·
ἀλλ᾽ ἐφομαρτεῖτον, καὶ σπεύδετον ὅττι τάχιστα·
ταῦτα δ᾽ ἐγὼν αὐτὸς τεχνήσομαι. ἠδὲ νοήσω
στεινωπῷ ἐν ὁδῷ παραδύμεναι οὐδέ με λήσει.
ὣς ἔφαθ᾽. οἳ δὲ ἄνακτος ὑποδδείσαντες ὁμοκλὴν
μᾶλλον ἐπιδραμέτην ὀλίγον χρόνον. αἶψα δ᾽ ἔπειτα
στεῖνος ὁδοῦ κοίλης ἴδεν ἀντίλοχος μενεχάρμης·
ῥωχμὸς ἔην γαίης. ἧ χειμέριον ἀλὲν ὕδωρ
ἐξέρρηξεν ὁδοῖο. βάθυνε δὲ χῶρον ἅπαντα·
τῇ ῥ᾽ εἶχεν μενέλαος. ἁματροχιὰς ἀλεείνων·
ἀντίλοχος δὲ παρατρέψας ἔχεν ὠκέας ἵππους
ἐκτὸς ὁδοῦ. ὀλίγον δὲ παρακλίνας ἐδίωκεν·
ἀτρεΐδης δ᾽ ἔδδεισε. καὶ ἀντιλόχῳ ἐγεγώνει·
ἀντίλοχ᾽ ἀφραδέως ἱππάζεαι ἀλλ᾽ ἄνεχ᾽ ἵππους.
στεινωπὸς γὰρ ὁδός. τάχα δ᾽ εὐρυτέρη παρελάσσαι·
μή πως ἀμφοτέρους δηλήσεαι. ἅρματι κύρσας·
ὣς ἔφατ᾽. ἀντίλοχος δ᾽ ἔτι καὶ πολὺ μᾶλλον ἔλαυνε
κέντροι ἐπισπέρχων, ὡς οὐκ ἀΐοντι ἐοικώς·
> ὅσσα δὲ δίσκου οὖρα κατωμαδίοιο πέλονται.
ὅν τ᾽ αἰζηὸς ἀφῆκεν ἀνὴρ πειρώμενος ἥβης.
τόσσον ἐπιδραμέτην. αἳ δ᾽ ἠρώησαν ὀπίσω.

[Interlinear and marginal glosses:]
(above l. 4) ἀπὸ τοῦ ὑστερεῖν μένοντα
(left of l. 5) ἢ ἀλλ᾽ ἐφομαρτεῖτε
(left of l. 13) ἀρίσταρχος τοῖς ... ἥρει
(beside l. 17) ἐν ἄλλῳ παρακλινθείς:
(above l. 22) ἐπισπεύδων, ἐπαναγκάζων:
(after l. 25) κινούμενοι:—

[Right-margin scholia:]
οὐ σφῶϊν κομιδή, ἐπιμέλεια ἔσται. ἢ δι᾽ ἀπειλῆς δὲ προσφωνεῖ τοῖς ἵπποις:—
αἴ κ᾽ ἀποκηδήσαντε· ὅ ἐστιν ἀποκηδήσαντες ὑμεῖς· μὴ ἀποκηδήσαντες ἀμφότεροι ὑμεῖς:
στεῖνος ὁδοῦ· κατατομή τις. ἐπεὶ οὐδὲν οὐδέτερον ὄνομα εἰς ος λῆγον ὀξύνεται, δῆλον ὅτι εἶχε καὶ τὸ μακρὸν στενὸς ... παρωνυμούμενον ... μονογενῶν τοῦ ὀξυνομένου ἀρσενικοῦ· ἐπιφέρεται δὲ ὅτι ἡ καὶ τὴν δοτικὴν ... μονοτάτου:—
ῥωχμὸς ἔην· ὁ κρασὶ διὰ τοῦ ω· τὴν ἀρχὴν τοῦ ξ διὰ τοῦ γ φησὶ ῥαγμόν· ῥωγμὸς δέ ἐστι τόπος κεχαραγμένος ὑπὸ ὀμβρίου ὕδατος:—
ἁματροχιάς· δασέως τὰς ἀρχούσας ... ὀξύνεται ... τὸ φυταλιάς:
ὅσσα δὲ δίσκου οὖρα· προσχήματα· ὅσον ἐπέρχονται καὶ οὐ πέμπονται:—

ἀτρείδῃ· αὐτὸς γὰρ ἑκὼν μεθέηκεν ἐλαύνειν.
μή πως συγκύρσειαν ὁδῷ ἔνι μώνυχες ἵπποι.
δίφρους τ' ἀνστρέψειαν ἐϋπλεκέας. κατὰ δ' αὐτοὶ
ἐν κονίῃσι πέσοιεν. ἐπειγόμενοι περὶ νίκης·
τὸν καὶ νεικείων προσέφη ξανθὸς μενέλαος·
ἀντίλοχ', οὔ τις σεῖο βροτῶν ὀλοώτερος ἄλλος·
ἔρρ'· ἐπεὶ οὔ σ' ἐτυμόν γε φάμεν πεπνῦσθαι ἀχαιοί·
ἀλλ' οὐ μὰν οὐδ' ὧς ἄτερ ὅρκου οἴσῃ ἄεθλον·
ὣς εἰπὼν, ἵπποισιν ἐκέκλετο, φώνησέν τε·
μή μοι ἐρύκεσθον, μηδ' ἕστατον ἀχνυμένω κῆρ·
φθήσονται τούτοισι πόδες καὶ γοῦνα καμόντα
ἢ ὑμῖν· ἄμφω γὰρ ἀτεμβόμενοι (gloss: στερισκόμενοι) νεότητος·
ὣς ἔφαθ'· οἱ δὲ ἄνακτος ὑποδείσαντες ὁμοκλήν.
μᾶλλον ἐπιδραμέτην· τάχα δέ σφισιν ἄγχι γένοντο·
ἀργεῖοι δ' ἐν ἀγῶνι καθήμενοι. εἰσορόωντο
ἵππους· τοὶ δὲ πέτοντο κονίοντες πεδίοιο·
πρῶτος δ' ἰδομενεὺς κρητῶν ἀγὸς ἐφράσαθ' ἵππους·
ἧστο γὰρ ἐκτὸς ἀγῶνος, ὑπέρτατος, ἐν περιωπῇ·
τοῖο δ' ἄνευθεν ἐόντος ὁμοκλητῆρος ἀκούσας
ἔγνω· φράσσατο δ' ἵππον ἀριπρεπέα προὔχοντα·
ὃς τὸ μὲν ἄλλο τόσον φοῖνιξ (gloss: πυρρός) ἦν. ἐν δὲ μετώπῳ
λευκὸν σῆμ' ἐτέτυκτο. περίτροχον, ἠΰτε μήνη.
στῆ δ' ὀρθός. καὶ μῦθον ἐν ἀργείοισιν ἔειπεν·
ὦ φίλοι· ἀργείων ἡγήτορες, ἠδὲ μέδοντες.

> ἐπεὶ οὔ σ' ἐτυμόν γε φάμεν: παρατατικῶς ἀντὶ τοῦ ἐφάμεν· [illegible] ὀξύνοντας —

> ὃς τὸ μὲν ἄλλο τόσον φοῖνιξ ἦν· [illegible] τὸ παραμικρὸν ἀντὶ τοῦ ὅσον τὸ μὲν [illegible] :—
> σῆμ' ἐτέτυκτο: οὕτως [illegible] τέτυκτο ὁ ἀεὶ [illegible] :—

ἄλλοι μοι δοκέουσι παροίτεροι· πρόσω παροίτεροι, ὀρθοτονικῶς ἀντὶ τοῦ πρότεροι καταγινόμενοι:-
αἳ κεῖσέ γε φέρτεραι: ἐκεῖ ὅπου καὶ ἀεὶ [illegible] καὶ [illegible] ἀμφοτέρων:-
ἤτοι γὰρ τὰς πρῶτ' ἴδον περὶ τέρμα βαλούσας: ὑποστικτέον ἐπὶ τὸ καμπούσας περιελαυνόμενος τοῦ ἐπιφερομένου σώ[illegible]
νῦν δ' οὔ πῃ· ὁ δὲ νόμος ὡς τὸ πρῶτον ἴδον καμπτούσας, νῦν οὐ δύναμαι ἰδεῖν:-

οἷος ἐὼν ἵππους ἀγάζομαι, ἦε καὶ ὑμεῖς.
ἄλλοι μοι δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι.
ἄλλος δ' ἡνίοχος ἰνδάλλεται· αἳ δέ που αὐτοῦ
ἔβλαβεν ἐν πεδίῳ· αἳ κεῖσέ γε φέρτεραι ἦσαν.
ἤτοι γὰρ τὰς πρῶτα ἴδον περὶ τέρμα βαλούσας.
νῦν δ' οὔπω δύναμαι ἰδέειν· πάντῃ δέ μοι ὄσσε
Τρωϊκὸν ἂμ πεδίον παπταίνετον εἰσορόωντι.
ἦε τὸν ἡνίοχον φύγεν ἡνία. οὐδὲ δυνάσθη
εὖ σχεθέειν περὶ τέρμα· καὶ οὐκ ἐτύχησεν ἑλίξας.
ἔνθα μιν ἐκπεσέειν ὀΐω, σὺν θ' ἅρματα ἆξαι.
αἳ δ' ἐξηρώησαν (ἔξω ὁδοῦ ἐξετράπησαν), ἐπεὶ μένος ἔλλαβε θυμόν.
ἀλλὰ ἴδεσθε καὶ ὔμμες ἀνασταδόν. οὐ γὰρ ἐγώ γε
εὖ διαγινώσκω, δοκέει δέ μοι ἔμμεναι ἀνὴρ
αἰτωλὸς γενεήν, μετὰ δ' Ἀργείοισιν ἀνάσσει.
Τυδέος ἱπποδάμου υἱός, κρατερὸς Διομήδης.
τὸν δ' αἰσχρῶς ἐνένιπεν Ὀϊλῆος ταχὺς Αἴας.
Ἰδομενεῦ, τί πάρος λαβρεύεαι (φλυαρεῖς ἢ προγλωσσεύεις); αἱ δέ τ' ἄνευθεν
ἵπποι ἀερσίποδες πολέος πεδίοιο δίενται.
οὔτε νεώτατός ἐσσι μετ' Ἀργείοισι τοσοῦτον.
οὔτε τοι ὀξύτατον κεφαλῆς ἐκδέρκεται ὄσσε.
ἀλλ' αἰεὶ μύθοις λαβρεύεαι. οὐδέ τί σε χρὴ
λαβραγόρην ἔμεναι. πάρα γὰρ καὶ ἀμείνονες ἄλλοι.
ἵπποι δ' αὐταὶ ἔασι παροίτεροι, αἳ τὸ πάρος περ,
Εὐμήλου· ἐν δ' αὐτὸς ἔχων εὔληρα βέβηκε.
τὸν δὲ χολωσάμενος Κρητῶν ἀγὸς ἀντίον ηὔδα.

οὐ ζηνόδοτος πάντη χρὴ στρέψαι —

ἀμπεδίον παπταίνετε

αἰτωλὸς γενεήν· ἀθετεῖται ὅτι τὸ ἑξῆς [illegible] ποιητικὸν οὐχ Ἰδομενέως πρόσωπον: ἀλλ' ἀθετεῖται ὡς περισσὸς καὶ προσώπου τοῦ ποιητοῦ γνωρίμως διὰ σαφηνείας τὰ προγινωσκόμενα [illegible]:-

ὅτι [illegible] δίενται:

πεδίοιο δίωνται: ὡς [illegible] διώκονται καὶ [illegible] ὁ σημαίνει αὐτὸ διώκω. [illegible] τὸ τρὶς περὶ ἄστυ [illegible] Πριάμοιο δῖον καὶ τὸ κονίοντες πεδίοιο· καὶ [illegible] τὸ [illegible] παρὰ τὸ ἵπποι ἀερσίποδες πολέος πεδίοιο δίενται. καὶ τὸ [illegible]:-

— λαβραγόρην ἔμεναι: ἀθετεῖται ὅτι οὐκ ἀναγκαῖος, προείρηται γὰρ [illegible] μύθοις λαβρεύεαι· καὶ τὸ πάρα γὰρ καὶ ἀμείνονες ἄλλοι οὐδὲ [illegible] λέγεται, οὐ γὰρ ἀμείνονές εἰσιν [illegible] τὸ λαβρεύεσθαι:-

προγλωσσος δεῖ καὶ θρασυστομίας καὶ νῦν τοῦ Ἰδομενέως ἡμαρτηκὼς [illegible] ἐστὶ [illegible] κολάζεται νῦν καὶ [illegible] μαχαί:

πάρα γὰρ καὶ ἀμείνονες ἄλλοι: τὸ πάρα ἀντὶ τοῦ πάρεισι διὸ τὸ πρὸ τὸ ζητούμενον ὁμοίως τῷ πάρα δ' ἀνὴρ ὃς καταθήσει:-

ὅτι [illegible] αὐταὶ πρῶται

— Εὐμήλου ἐν δ' αὐτὸς ἔχων εὔληρα: ὅτι ἅπαξ τὰς ἡνίας [illegible] κέκληκεν [illegible]:-

Αἶαν νεῖκει ἄριστε, κακοφραδές· ἄλλα τε πάντα
δεύεαι Ἀργείων, ὅτι τοι νόος ἐστὶν ἀπηνής.
δεῦρό νυν ἢ τρίποδος περιδώμεθον ἠὲ λέβητος,
ἵστορα δ' Ἀτρεΐδην Ἀγαμέμνονα θείομεν ἄμφω,
ὁππότεραι πρόσθ' ἵπποι, ἵνα γνοίης ἀποτίνων.
ὣς ἔφατ'· ὄρνυτο δ' αὐτίκ' Ὀϊλῆος ταχὺς Αἴας
χωόμενος, χαλεποῖσιν ἀμείψασθαι ἐπέεσσι·
καί νύ κε δὴ προτέρω ἔτ' ἔρις γένετ' ἀμφοτέροισιν,
εἰ μὴ Ἀχιλλεὺς αὐτὸς ἀνίστατο, καὶ φάτο μῦθον·
μηκέτι νῦν χαλεποῖσιν ἀμείβεσθον ἐπέεσσιν
Αἶαν Ἰδομενεῦ τε κακοῖς, ἐπεὶ οὐδὲ ἔοικε.
καὶ δ' ἄλλοι νεμεσᾶτον, ὅτις τοιαῦτά γε ῥέζοι.
ἀλλ' ὑμεῖς ἐν ἀγῶνι καθήμενοι εἰσοράασθε
ἵππους· οἳ δὲ τάχ' αὐτοὶ ἐπειγόμενοι περὶ νίκης
ἐνθάδ' ἐλεύσονται· τότε δὲ γνώσεσθε ἕκαστος
ἵππους Ἀργείων, οἳ δεύτεροι οἵ τε πάροιθεν.
ὣς φάτο· Τυδεΐδης δὲ μάλα σχεδὸν ἦλθε διώκων,
μάστι δ' αἰὲν ἔλαυνε κατωμαδόν· οἳ δέ οἱ ἵπποι
ὑψόσ' ἀειρέσθην, ῥίμφα πρήσσοντε κέλευθον.
αἰεὶ δ' ἡνίοχον κονίης ῥαθάμιγγες ἔβαλλον,
ἅρματα δὲ χρυσῷ πεπυκασμένα κασσιτέρῳ τε
ἵπποις ὠκυπόδεσσιν ἐπέτρεχον· οὐδέ τι πολλὴ
γίγνετ' ἐπισσώτρων ἁρματροχιὴ κατόπισθεν
ἐν λεπτῇ κονίῃ· τὼ δὲ σπεύδοντε πετέσθην.
στῆ δὲ μέσῳ ἐν ἀγῶνι, πολὺς δ' ἀνεκήκιε ἱδρὼς

Interlinear gloss above κατωμαδόν: κατὰ τῶν ὤμων

Marginal notes (inner margin): ῥῆτορ νικῶ ... ; τὸ νῦν ... τὸ δεῦρο ; ... ; ἐλαύνει ... ; κατέχρισε ; τὸ ἁρμ... ἐπέτρεχε οὐ κατέτρεχε ... ; ἐκ ... [illegible]

Marginal scholium (left): δεῦρο νῦν ἢ τρίποδος περιδώμεθον: ἐνθάδε τὸ νῦν συστολὴν ... περιδώμεθον ... ὡς ... τὸ συνθήκας ποιησώμεθα:— ὁππότεραι πρόσθ' ἵπποι: ὁποῖοι ... ἵνα ... πρότεραι ἵπποι προτερεύσι:— μάστι δ' αἰὲν ἔλαυνε: μάστι ἀπὸ τῆς μάστιγος ... [illegible]

αὐτὸς δ' ἐκ δίφροιο χαμαί. ὅτι τοῦτο διαλείπει [illegible] ἀμφὶ [illegible] πρὸς [illegible] παμφανόωντα· [illegible] τῷ δ' ἄρ' ἐπ' ἀντίλοχος νηλήϊος· ὅτι ἀπὸ τοῦ προπάτορος ὁ ἀντίλοχος νηλήϊος· ἐπεὶ γὰρ [illegible] υἱὸς ὁ νηλεὺς ποσειδῶνος [illegible] ἵππους πρὸς [illegible] ἕτερον:-

ἵππων ἔκ τε λόφων καὶ ἀπὸ στέρνοιο χαμᾶζε·

\> αὐτὸς δ' ἐκ δίφροιο χαμαὶ θόρε παμφανόωντος·

κλῖνε δ' ἄρα μάστιγα ποτὶ ζυγόν· οὐδὲ μάτησεν

ἴφθιμος σθένελος, ἀλλ' ἐσσυμένως λάβ' ἄεθλον.

\> δῶκε δ' ἄγειν ἑτάροισιν ὑπερθύμοισι γυναῖκα. — προστασσόμενον [illegible] φέρειν:-

\> καὶ τρίποδ' ὠτώεντα φέρειν· ὁ δ' ἔλυεν ὑφ' ἵππους·

\> τῷ δ' ἄρ' ἐπ' ἀντίλοχος νηλήϊος ἤλασεν ἵππους.

κέρδεσιν, οὔ τι τάχει γε παραφθάμενος μενέλαον·

ἀλλὰ καὶ ὣς μενέλαος ἔχ' ἐγγύθεν ὠκέας ἵππους·

ὅσσον δὲ τροχοῦ ἵππος ἀφίσταται· ὅς ῥα τ' ἄνακτα

\> ἕλκῃσιν πεδίοιο τιταινόμενος σὺν ὄχεσφι. — [illegible]

τοῦ μέν τε ψαύουσιν ὀπισσότρου τρίχες ἄκραι

οὐραῖαι· ὁ δέ τ' ἄγχι μάλα τρέχει· οὐδέ τι πολλὴ

\> χώρη μεσσηγὺς πολέος πεδίοιο θέοντος. — [illegible]

τόσσον δὴ μενέλαος ἀμύμονος ἀντιλόχοιο

\> λείπετ'· ἀτὰρ τὰ πρῶτα καὶ ἐς δίσκουρα λέλειπτο·

ἀλλά μιν αἶψα κίχανεν· ὀφέλλετο γὰρ μένος ἠῢ

ἵππου τῆς ἀγαμέμνονος καλλίτριχος αἴθης.

εἰ δέ κ' ἔτι προτέρω γένετο δρόμος ἀμφοτέροισι,

\> τῶ κέν μιν παρέλασσ'· οὐδ' ἀμφήριστον ἔθηκεν·

αὐτὰρ μηριόνης θεράπων ἐῢς ἰδομενῆος

λείπετ' ἀγακλῆος μενελάου δουρὸς ἐρωήν·

βάρδιστοι μὲν γάρ οἱ ἔσαν καλλίτριχες ἵπποι.

\> ἥκιστος δ' ἦν αὐτὸς ἐλαυνέμεν ἅρμ' ἐν ἀγῶνι·

υἱὸς δ' ἀδμήτοιο πανύστατος ἤλυθεν ἄλλων.

λείπετ' ἀτὰρ τὰ πρῶτα: ἡ μείωσις [illegible] ἐς δίσκουρα [illegible] δίσκουρα:- καὶ ἐς δίσκουρα λέλειπτο [illegible] δίσκουρα [illegible] τὼ κέν μιν παρέλασσ' ὅτι ζηνόδοτος γράφει ἢ ἀμφήριστ' ἔθηκεν οὐκ [illegible] οὐδ' ἀμφήριστα:-

ἥκιστος δ' ἦν. τὸ ἥκιστος τὸ ἅπαξ εἰρημένον [illegible] ἵκαστος· [illegible]:-

✝ ἕλκων ἅρματα καλά: οὗτος πρόσσοθεν ἐλαύνων κατεαγότος δὲ τοῦ δίφρου ἀφικνεῖται ἐκ τῶν ἔμπροσθεν ἐλαύνων τοὺς ἵππους ὥσπερ οἱ τὸν ἀροτραῖον περιεχόμενοι καὶ τῇ μάστιγι παίει ἐλαύνων κατὰ τὰ αὐχένα καὶ τὰ πλευράς. οὕτως γὰρ ἀκολουθεῖν καὶ οὐ κωλύεσθαι(?). ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει ἐλαύνων μώνυχας ἵππους ὡς ἡνιόχου [illegible] περιμένειν δὲ τοῦ ἅρματος ἔμπροσθεν γενόμενος ἐλαύνει τὰ πλευρὰ τὸν ἵππον τύπτων. μαχοῦ δὲ διαστολὴ [illegible] τὸ καλὰ προστάσσει ἕτερον. τὸ δὲ πρόσσοθεν ὡς ἔμπροσθεν καὶ συνεκδοχὴ τοῦ [illegible]:—

δεύτερ' ἀτάρ· ὅτι ἐν τισιν ὑποτάσσονται τούτοις τὰ ἔπειτα δ' Ἀντίλοχος. τετραταξανθὸς μὲν ἐλαος(?): τὸ δὲ [illegible] Μηριόνην θεράποντ' ἐΰν Ἰδομενῆος χωρὶς τοῦ μὴ τὴν χωρικτηρικὴν(?) ἄγειν ὁ Μηριόνης καὶ προσεῖναι(?) ἡ δὲ [illegible] τοῦ [illegible]:—

› ἕλκων ἅρματα καλά, ἐλαύνων πρόσσοθεν ἵππους.

τὸν δὲ ἰδὼν ᾤκτειρε ποδάρκης δῖος Ἀχιλλεύς.

στὰς δ' ἄρ' ἐν Ἀργείοισιν ἔπεα πτερόεντ' ἀγόρευεν·

ἔσχατος

λοῖσθος ἀνὴρ ὤριστος ἐλαύνει μώνυχας ἵππους·

ἀλλ' ἄγε δή οἱ δῶμεν ἄεθλιον ὡς ἐπέοικε

› δεύτερ'· ἀτὰρ τὰ πρῶτα φερέσθω Τυδέος υἱός.

ἐν ἄλλῳ· ἠδ' ἐκέλευον:

ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπῄνεον ὡς ἐκέλευεν·

ἐν ἄλλῳ· ἐπῄνησαν γὰρ οἱ ἄλλοι:—

καί νύ κέ οἱ πόρεν ἵππον, ἐπῄνησαν γὰρ Ἀχαιοί.

εἰ μὴ ἄρ' Ἀντίλοχος, μεγαθύμου Νέστορος υἱός.

Πηλεΐδην Ἀχιλῆα δίκῃ ἠμείψατ' ἀναστάς:

σημειοῦνταί τινες ὅτι ἀντὶ τοῦ μηνιῶ:—

› ὦ Ἀχιλεῦ, μάλα τοι κεχολώσομαι αἴ κε τελέσσῃς

ὅτι ἀντὶ τοῦ ἔοικας:

› τοῦτο ἔπος· μέλλεις γὰρ ἀφαιρήσεσθαι ἄεθλον.

τὰ φρονέων, ὅτι οἱ βλάβεν ἅρματα καὶ ταχέ' ἵππω.

ὤφελ

αὐτός τ' ἐσθλὸς ἐών· ἀλλ' ὤφελεν ἀθανάτοισιν

εὔχεσθαι· τό κεν οὔ τι πανύστατος ἦλθε διώκων.

ὅτι ἀντὶ τοῦ φίλος πᾶσι μεῖζον:

εἰ δέ μιν οἰκτείρεις, καί τοι φίλος ἔπλετο θυμῷ.

ἔστι τοι ἐν κλισίῃ χρυσὸς, ἔστι δὲ πολὺς χαλκός.

καὶ πρόβατ', εἰσὶ δέ τοι δμῳαὶ καὶ μώνυχες ἵπποι·

τῶν οἱ ἔπειτ' ἀνελών: ὅτι τὸ ἔπειτα ἀντὶ τοῦ μετὰ ταῦτα· ἀντὶ δὲ διαστολῆς(?) τὸ αὐτίκα. ἡ δὲ ἀναφορὰ πρὸς τὸ Φοῖνιξ μὲν πρώτιστα, αὐτὰρ ἔπειτ' Αἴας τε μέγας:—

› τῶν οἱ, ἔπειτ' ἀνελὼν δόμεναι καὶ μεῖζον ἄεθλον.

› ἠὲ καὶ αὐτίκα νῦν, ἵνα σ' αἰνήσωσιν Ἀχαιοί·

τὴν δ' ἐγὼ οὐ δώσω· περὶ δ' αὐτῆς πειρηθήτω.

ἀνδρῶν ὅς κ' ἐθέλῃσιν ἐμοὶ χείρεσσι μάχεσθαι.

ὣς φάτο· μείδησεν δὲ ποδάρκης δῖος Ἀχιλλεύς.

χαίρων Ἀντιλόχῳ, ὅτι οἱ φίλος ἦεν ἑταῖρος·

καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·

εὐμήλῳ ἐπιδοῦναι: ἐγὼ καὶ μετὰ τὸ ἐπιδοῦναι τῷ εὐμήλου συνδέσμου περιχεομένου:- ᾧ περιχεῦμα ἀμφιδεδίνηται: ᾧ ἐστὶν οἱ ἀστέρες τὴν περί, ὃ μέχρι ἄσκαρον καὶ οἱ πλεῖστοι καταπαρολκ' ὅτι ἔδοξε ἀντικεῖσθαι διὰ τὸ ἀμφιδεδίνηται διὸ οὐ καὶ ἀστερίζουσιν:- τοῖσι δὲ καὶ μενέλαος ἀνίστατο. οὐ διὰ σμικρολογίαν ἐθέλει τὸν ἵππον λαβεῖν ἀλλὰ φανερῶς πάντας νικᾶν θέλων. φιλότιμος ὢν καὶ περὶ τῶν νικῶν. ὁ δὲ οὐδὲ ὅρισ ἔδοξε παραχρῆμα διαμισάμενος μὴ μέμψεσθαι αὐτῷ ἀπατήσαντι καὶ παρὰ τὴν ἡρωϊκὴν ἁπλότητα πανουργήσαντι, καὶ ἀχιλλέως. ἐκ γὰρ δὴ ἀπάτης:-

Ἀντίλοχ' εἰ μὲν δή με κελεύεις οἴκοθεν ἄλλο
Εὐμήλῳ ἐπιδοῦναι, ἐγὼ δέ κε καὶ τὸ τελέσω.
δώσω οἱ θώρηκα, τὸν Ἀστεροπαῖον ἀπηύρων,
χάλκεον, ᾧ πέρι χεῦμα φαεινοῦ κασσιτέροιο
ἀμφιδεδίνηται· πολέος δέ οἱ ἄξιον ἔσται.
ἦ ῥα, καὶ Αὐτομέδοντι φίλῳ ἐκέλευσεν ἑταίρῳ
οἰσέμεναι κλισίηθεν· ὁ δ' ᾤχετο, καί οἱ ἔνεικε.
τοῖσι δὲ καὶ Μενέλαος ἀνίστατο θυμὸν ἀχεύων,
Ἀντιλόχῳ ἄμοτον κεχολωμένος· ἐν δ' ἄρα κῆρυξ
ἢ χερσὶ > χειρὶ σκῆπτρον ἔθηκε, σιωπῆσαί τ' ἐκέλευσεν — πρὸς τοὺς δημηγοροῦντας σκῆπτρα ἔλαβον
Ἀργείους· ὁ δ' ἔπειτα μετηύδα ἰσόθεος φώς·
Ἀντίλοχε, πρόσθεν πεπνυμένε, ποῖον ἔρεξας.
ᾔσχυνας μὲν ἐμὴν ἀρετήν, κράτυας δέ μοι ἵππους.
τοὺς σοὺς πρόσθε βαλών, οἵ τοι πολὺ χείρονες ἦσαν. — οἱ ἀντιλόχου:
ἀλλ' ἄγετ' Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες
> ἐς μέσον ἀμφοτέροισι δικάσσατε, μηδ' ἐπ' ἀρωγῇ.
μή ποτέ τις εἴπῃσιν Ἀχαιῶν χαλκοχιτώνων.
Ἀντίλοχον ψεύδεσσι βιησάμενος Μενέλαος
οἴχεται ἵππον ἄγων. ὅτι οἱ πολὺ χείρονες ἦσαν
ἵπποι. αὐτὸς δὲ κρείσσων ἀρετῇ τε βίῃ τε.
εἰ δ' ἄγ' ἐγὼν αὐτὸς δικάσω. καί μ' οὔτινά φημι
ἄλλον ἐπιπλήξειν Δαναῶν. ἰθεῖα γὰρ ἔσται.
— Ἀντίλοχ' εἰ δ' ἄγε δεῦρο διοτρεφές. ἣ θέμις ἐστί,
στὰς ἵππων προπάροιθε καὶ ἅρματος. αὐτὰρ ἱμάσθλην
χερσὶν ἔχε ῥαδινήν. ᾗ περ τὸ πρόσθεν ἔλαυνες.

ἐς μέσον ἀμφοτέροισιν· ὅτι οὐ κατὰ τὸ μέσον παρευρόντες ἀλλὰ μέσον δικάσατε, μήτε τούτῳ πρὸς χαριζόμενοι μήτε ἐμοί. διὸ ἐπιφέρει μηδ' ἐπ' ἀρωγῇ:
ἀντίλοχ' εἰ δ' ἄγε. ἀλλ' εἶτα ὁ ἀχαιὸς ὢν διοτρεφές. ἰέναι μετ' αὐτοῦ:—
χερσὶν ἔχε ῥαδινὴν ὅτι ἔθος ἦν ἐπὶ τὸ ἅρματος ἐλαύνειν. καὶ ἀψάμενος μετὰ γὰρ τοῦ ἅρματα πεδῆσαι ἤρτηται ὁ λόγος:—

ἵππων ἁψάμενος. γαιήοχον ἐννοσίγαιον
ὄμνυθι. μὴ μὲν ἑκὼν τὸ ἐμὸν δόλω ἅρμα πεδῆσαι·
τὸν δ' αὖτ' Ἀντίλοχος πεπνυμένος ἀντίον ηὔδα·
ἄνσχεο νῦν· πολλὸν γὰρ ἔγωγε νεώτερός εἰμι
σεῖο ἄναξ μενέλαε. σὺ δὲ πρότερος καὶ ἀρείων·
οἶσθ' οἷαι νέου ἀνδρὸς ὑπερβασίαι τελέθουσι·
κραιπνότερος μὲν γάρ τε νόος. λεπτὴ δέ τε μῆτις·
τῶ τοι ἐπιτλήτω κραδίη. ἵππον δέ τοι αὐτὸς
δώσω τὴν ἀρόμην. εἰ καί νύ κεν οἴκοθεν ἄλλο
μεῖζον ἐπαιτήσειας. ἄφαρ κέ τοι αὐτίκα δοῦναι
βουλοίμην. ἢ σοί γε διοτρεφὲς ἤματα πάντα
ἐκ θυμοῦ πεσέειν. καὶ δαίμοσιν εἶναι ἀλιτρός·
ἦ ῥα καὶ ἵππον ἄγων μεγαθύμου νέστορος υἱὸς.
ἐν χείρεσσι τίθει μενελάου. τοῖο δὲ θυμὸς
ἰάνθη. ὡς εἴ τε περὶ σταχύεσσιν ἐέρση
ληΐου ἀλδήσκοντος ὅτε φρίσσουσιν ἄρουραι·
ὣς ἄρα σοὶ μενέλαε μετὰ φρεσὶ θυμὸς ἰάνθη.
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
ἀντίλοχε. νῦν μέν τοι ἐγὼν ὑποείξομαι αὐτὸς.
χωόμενος. ἐπεὶ οὔ τι παρήορος οὐδ' ἀεσίφρων
ἦσθα πάρος· νῦν αὖτε νόον νίκησε νεοίη.
δεύτερον αὖτ' ἀλέασθαι ἀμείνονας ἠπεροπεύειν.
οὐ γάρ κέν με τάχ' ἄλλος ἀνὴρ παρέπεισεν ἀχαιῶν·
ἀλλὰ σὺ γὰρ δὴ πολλὰ πάθες. καὶ πολλὰ μόγησας.
σός τε πατὴρ ἀγαθὸς. καὶ ἀδελφεὸς. εἵνεκ' ἐμεῖο.

ἐναλλ ἴσχεο:

ρπζ

δώσω τὴν ἀρόμην: ταύτην ἣν ἀπ' ἀρχῆς ἀνηρπάσω· ὑποσκεθεῖσαν μετὰ τὸ ἀπατῆσαι σε:—
χωόμενος ἐπεὶ οὔ τι: ὁ παρήορος ὁ παρηρτημένος τὰς φρένας. οὐ καθαρὸς οὐδὲ κατὰ χώραν ἔχων αὐτάς. καὶ ὁ χωόμενος νῦν ἀντὶ τοῦ χολούμενος:—
ἦσθα πάρος: ὁ νῦν μὲν οὕτως ἐξ ἀρχῆς ματαιότης νεοίη ἀντὶ τοῦ νεότης:—
νῦν αὖτε νόον νίκησε νεοίη: νεοίη ὡς ὁμοίη. οἱ μέντοι μετ' αὐτὸν ὡς ἐπιπρεπῆ νεοξὰν λέγουσι. περὶ δὲ τῆς λέξεως εἰ ἡ ... ἀρχηματικῶν ... προτακτικὸν ἐζήτησαν. ἅπαξ δὲ ἐχρήσατο τῇ λέξει:—

ἀπὸ φρίσσουσι ἔχοντες στάχυας:—

καὶ περίδει τῆ μάχοντο ἡ γράφεται:

† νεῖζερ

τῷ τοι λισσομένῳ ἐπιπείσομαι· ἠδὲ καὶ ἵππον.
δώσω ἐμήν περ ἐοῦσαν. ἵνα γνώωσι καὶ οἵδε.
ὡς ἐμὸς οὔποτε θυμὸς ὑπερφίαλος καὶ ἀπηνής·
ἦ ῥα· καὶ Ἀντιλόχοιο Νοήμονι δῶκεν ἑταίρῳ
ἵππον ἄγειν· ὃ δ᾽ ἔπειτα λέβητ᾽ ἕλε παμφανόωντα·
Μηριόνης δ᾽ ἀνάειρε δύω χρυσοῖο τάλαντα
τέτρατος, ὡς ἔλασεν· πέμπτον δ᾽ ὑπελείπετ᾽ ἄεθλον
ἀμφίθετος φιάλη· τὴν Νέστορι δῶκεν Ἀχιλλεὺς
Ἀργείων ἀν᾽ ἀγῶνα φέρων· καὶ ἔειπε παραστάς·
τῆ νῦν καὶ σοὶ τοῦτο γέρον κειμήλιον ἔστω.
Πατρόκλοιο τάφου μνῆμ᾽ ἔμμεναι· οὐ γὰρ ἔτ᾽ αὐτὸν
ὄψει ἐν Ἀργείοισι· δίδωμι δέ τοι τόδ᾽ ἄεθλον
> αὔτως· οὐ γὰρ πύξ γε μαχήσεαι· οὐδὲ παλαίσεις·
> θεύσεαι· ἤδη γὰρ χαλεπὸν κατὰ γῆρας ἐπείγει. — πρόσπαζει / ἱκάνει: / ἐπείσι
ὣς εἰπὼν ἐν χερσὶ τίθει· ὃ δ᾽ ἐδέξατο χαίρων.
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
ναὶ δὴ ταῦτά γε πάντα τέκος κατὰ μοῖραν ἔειπες.
> οὐ γὰρ ἔτ᾽ ἔμπεδα γυῖα φίλος, πόδες· οὐδ᾽ ἔτι χεῖρες
ὤμων ἀμφοτέρωθεν ἐπαΐσσονται ἐλαφραί·
εἴθ᾽ ὣς ἡβώοιμι, βίη δέ μοι ἔμπεδος εἴη.
> ὡς ὁπότε κρείοντ᾽ Ἀμαρυγκέα θάπτον Ἐπειοὶ
Βουπρασίῳ· παῖδες δ᾽ ἔθεσαν βασιλῆος ἄεθλα.
ἔνθ᾽ οὔ τίς μοι ὁμοῖος ἀνὴρ γένετ᾽· οὔτ᾽ ἄρ᾽ Ἐπειῶν.
οὔτ᾽ αὐτῶν Πυλίων. οὔτ᾽ Αἰτωλῶν μεγαθύμων.

ἀμφίθετος φιάλη: πρὸς τὸ ἀμφίθετον, ὅτι ἡ πανταχόθεν ὑπέρεισιν ἔχουσα· καὶ ὅτι οἰκονομικῶς ὑπολείπεται ἄεθλον ἵνα μὴ ὁ Νέστωρ ἀτιμασθῇ μηται ἐν τῷ ἐπὶ Πατρόκλῳ ἀγῶνι· μέμνηται δὲ τῆς ζητήσεως τῆς φιάλης καὶ τοῦ λόγου διασαφεῖ ἀξιοῦντος ἵνα ἀφ' ἑτέρας ἀρχῆς ἀρ... τὴν Νέστορι δῶκεν Ἀχιλλεὺς ἀντὶ τοῦ ταύτην:—

αὔτως· οὐ γὰρ πύξ γε: ὅτι πρὸς τὰ ἐπὶ Ἰφικλοῦ εἰρημένα καὶ ἐπὶ τοῦ ... οὐ γὰρ πὺξ μαχεῖ φησιν ὁ αὐτὸς ποιητής:—

οὐδέ τ᾽ ἀκοντιστὺν ἐνδύσεαι: οὕτως ἐνδύσεαι σχεδὸν ἅπασαι· οὐδέποτε γὰρ ὁ ποιητὴς τῇ ἐκ ... προθέσει κέχρηται:—

οὐ γὰρ ἔτ᾽ ἔμπεδα: ὅτι ἀπὸ τοῦ γὰρ ἤρκται τὸ ἀπαρτικὸν πρότασις· καὶ ὅτι ἐζήτησατο τὴν ἔμπεδα γυῖα λέξιν· ἐρρέθη διαστάσει τὸ φίλος· ὅτι ἐφ' ἡρμηνευται ἐζήτηται τὰ γυῖα ὅτι πόδες καὶ χεῖρες:—

ὡς ὁπότε κρείοντ᾽ Ἀμαρυγκέα: ὅτι τῶν ἀναξίων ἀγώνων μέμνηται ἱερῶν δεῖ οὐ:—

ι οὐδέ τ᾽ ἀκοντιστὺν ἐνδύσεαι· οὐδὲ πόδεσσι — Ἀρίσταρχος ἐσδύσεαι:

πὺξ μὲν ἐνίκησα: ὅτι [illegible] — ἀγκαῖον δὲ πάλῃ· πρὸς ὃ ὅς μοι ἀνέστη [illegible]

[illegible]

ἔμπεδον ἡνιόχευεν: [illegible]

ἔργων τοιούτων: [illegible]

ὥς μευ ἀεὶ μέμνησαι: [illegible]

ἐν τισι δὲ ἀγασσάμενοι [illegible]

βραχὺ διαστολ[illegible]

πὺξ μὲν ἐνίκησα Κλυτομήδεα Ἤνοπος υἱόν·

Ἀγκαῖον δὲ πάλῃ Πλευρώνιον, ὅς μοι ἀνέστη·

Ἴφικλον δὲ πόδεσσι παρέδραμον ἐσθλὸν ἐόντα·

δουρὶ δ' ὑπειρέβαλον Φυλῆά τε καὶ Πολύδωρον·

οἴοισίν μ' ἵπποισι παρήλασαν Ἀκτορίωνε,

πλήθει πρόσθε βαλόντες, ἀγασσάμενοι περὶ νίκης,

οὕνεκα δὴ τὰ μέγιστα παρ' αὐτόθι λείπετ' ἄεθλα.

οἳ δ' ἄρ' ἔσαν δίδυμοι· ὁ μὲν ἔμπεδον ἡνιόχευεν,

ἔμπεδον ἡνιόχευ', ὁ δ' ἄρα μάστιγι κέλευεν.

ὥς ποτ' ἔον· νῦν αὖτε νεώτεροι ἀντιοώντων

ἔργων τοιούτων· ἐμὲ δὲ χρὴ γήραϊ λυγρῷ

πείθεσθαι, τότε δ' αὖτε μετέπρεπον ἡρώεσσιν.

ἀλλ' ἴθι καὶ σὸν ἑταῖρον ἀέθλοισι κτέρεϊζε.

τοῦτο δ' ἐγὼ πρόφρων δέχομαι, χαίρει δέ μοι ἦτορ,

ὥς μευ ἀεὶ μέμνησαι ἐνηέος, οὐδέ σε λήθω

τιμῆς, ἧς τέ μ' ἔοικε τετιμῆσθαι μετ' Ἀχαιοῖς.

σοὶ δὲ θεοὶ τῶνδ' ἀντὶ χάριν μενοεικέα δοῖεν.

Πηλεΐδης δὲ πολὺν καθ' ὅμιλον Ἀχαιῶν

ᾤχετ', ἐπεὶ πάντ' αἶνον ἐπέκλυε Νηλεΐδαο.

αὐτὰρ ὁ πυγμαχίης ἀλεγεινῆς θῆκεν ἄεθλα·

ἡμίονον ταλαεργὸν ἄγων κατέδησ' ἐν ἀγῶνι,

ἑξέτε' ἀδμήτην, ἥ τ' ἀλγίστη δαμάσασθαι·

τῷ δ' ἄρα νικηθέντι τίθει δέπας ἀμφικύπελλον.

στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·

Ἀτρεΐδαι τε καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί·

+ ἄνδρε δύω περὶ τῶνδε: ὁ [illegible] ἰσαρίθμους τοῖς ἄθλοις [illegible] καλεῖ καὶ τοῦτο ἐστὶ πάντων [illegible]:-
ᾧ δέ κ' ἀπόλλων δώῃ. φόρβας, ἀνδρειότατος τῶν καθ' αὑτὸν γενόμενος ὑπερήφανος δὲ, πυγμὴν ἤσκησεν·
καὶ τοὺς μὲν παριόντας ἀναγκάζων ἀγωνίζεσθαι ἀνῄρει· ὑπὸ δὲ τῆς πολλῆς ὑπερηφανίας [illegible] καὶ [illegible]
τοιοῦτο [illegible] ἔχειν. διὸ ἀπόλλων παραγενόμενος καὶ συστὰς αὐτῷ ἀπέκτεινεν αὐτόν· ὅθεν ἐξ ἐκείνου καὶ τῆς πυκτικῆς ἔφορος ἐνο-
μίσθη ὁ θεός. ἡ ἱστορία παρὰ τοῖς κυκλικοῖς:- δώῃ καμμονίην. ὅτι οὐ κέχρηται ἐπ' ἀνθρώπων καμμονίη νίκη ὡς οἱ γλωσσογράφοι
[illegible] διὸ ἐπιδεόμεθα οὕτως. ἀλλ' ἐπὶ τῶν [illegible] μόνον [illegible] καταμένειν +

ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥσπερ ἀρίστω
πὺξ μάλ' ἀνασχομένω πεπληγέμεν· ᾧ δέ κ' ἀπόλλων
δώῃ καμμονίην, γνώωσι δὲ πάντες ἀχαιοί,
ἡμίονον ταλαεργὸν ἄγων κλισίηνδε φερέσθω· — ἐν ἄλλῳ νεέσθω
αὐτὰρ ὁ νικηθεὶς δέπας οἴσεται ἀμφικύπελλον·
ὣς ἔφατ'· ὤρνυτο δ' αὐτίκ' ἀνὴρ ἠΰς τε μέγας τε
εἰδὼς πυγμαχίης, υἱὸς πανοπῆος ἐπειός·
ἅψατο δ' ἡμιόνου ταλαεργοῦ φώνησέν τε·
ἆσσον ἴτω, ὅστις δέπας οἴσεται ἀμφικύπελλον·
ἡμίονον δ' οὔ φημί τιν' ἀξέμεν ἄλλον ἀχαιῶν
πυγμῇ νικήσαντ', ἐπεὶ εὔχομαι εἶναι ἄριστος.
ἦ οὐχ ἅλις ὅτι μάχης ἐπιδεύομαι· οὐδ' ἄρα πως ἦν — ἦ οὐχ ἅλις ὅτι μάχης· τὸ ὅμοιον [illegible] πεποίηκεν [illegible]
ἐν πάντεσσ' ἔργοισι δαήμονα φῶτα γενέσθαι·
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
ἀντικρὺ χρόα τε ῥήξω, σύν τ' ὀστέ' ἀράξω.
κηδεμόνες δέ οἱ ἐνθάδ' ἀολλέες αὖθι μενόντων,
οἵ κέ μιν ἐξοίσουσιν ἐμῇς ὑπὸ χερσὶ δαμέντα.
ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
εὐρύαλος δέ οἱ οἶος ἀνίστατο ἰσόθεος φώς,
μηκιστέος υἱὸς ταλαϊονίδαο ἄνακτος,
ὅς ποτε θήβασδ' ἦλθε δεδουπότος οἰδιπόδαο — οὐ θήβασδε, εἰς θήβας
ἐς τάφον· ἔνθα δὲ πάντας ἐνίκα καδμείωνας.
τὸν μὲν τυδείδης δουρικλυτὸς ἀμφιέπεν
θαρσύνων ἐπέεσσι· μέγα δ' αὐτῷ βούλετο νίκην.
ζῶμα δέ οἱ πρῶτον παρακάββαλεν· αὐτὰρ ἔπειτα

ὅς ποτε θήβας δ' ἦλθε: ὁ ἐστὶ μηκιστεὺς ἀκολουθῶν ὅς ποτε θήβας ἦλθεν, οὐκ ἐστὶ τοῦ ἀδράστου [illegible] στρατείας. [illegible]
οἱ γὰρ νεώτεροι [illegible] φασὶν [illegible] ἐκστρατεύσας·
[illegible] εἰς θήβας στρατεία. καὶ πρὸς τὸ δεδουπότος· οἱ γλωσσογράφοι γὰρ ἐπ' ἀνθρώπου τεθνηκότος [illegible]
[illegible] δεδουπότος [illegible]
[illegible] ἑαυτὸν καὶ γὰρ οὐ ὁ θάνατος [illegible]:- ζῶμα δέ οἱ πρῶτον. ζώματι περιεζώννυντο
πρὸς τὸν [illegible] ἔθος [illegible] παλαιοῖς, περιζώματα [illegible] τοῖς αἰδοίοις καὶ οὕτως ἀγωνίζεσθαι. [illegible]
ὀλυμπιάδα ὀρσίππου τοῦ λακεδαιμονίου [illegible] ἀγωνιζομένου τὸ περίζωμα [illegible] αὐτῷ νίκης [illegible] μόνος
[illegible] γυμνοὺς τρέχειν:- ζῶμα δέ οἱ. [illegible] πρὸς τὸ παλαιὸν ἔθος ὅ. [illegible] περιζώματι ἠγωνίζοντο:-

+ ἄντα δ᾽ ἀνασχομένω· [illegible] μετὰ τὸ ἀνασχομένους [illegible]

δεινὸς δὲ χρόμαδος: [illegible] τῶν πληγῶν:-

δῶκεν ἱμάντας ἐϋτμήτους βοὸς ἀγραύλοιο·
τὼ δὲ ζωσαμένω βήτην ἐς μέσον ἀγῶνα·
ἄντα δ᾽ ἀνασχομένω χερσὶ στιβαρῇσιν ἅμ᾽ ἄμφω·
σύν ῥ᾽ ἔπεσον· σὺν δέ σφι βαρεῖαι χεῖρες ἔμιχθεν·
δεινὸς δὲ χρόμαδος γενύων γένετ᾽· ἔρρεε δ᾽ ἱδρὼς
πάντοθεν ἐκ μελέων· ἐπὶ δ᾽ ὄρνυτο δῖος ἐπειός·
κόψε δὲ παπτήναντα· παρήϊον· οὐδ᾽ ἄρ᾽ ἔτι δὴν
ρπη ἑστήκειν· αὐτοῦ γὰρ ὑπήριπε φαίδιμα γυῖα·
ὡς δ᾽ ὅθ᾽ ὑπὸ φρικὸς βορέω ἀναπάλλεται ἰχθὺς
θῖν᾽ ἐν φυκιόεντι· μέλαν δέ ἑ κῦμα κάλυψεν·
ὣς πληγεὶς ἀνέπαλτ᾽· αὐτὰρ μεγάθυμος ἐπειὸς
χερσὶ λαβὼν ὤρθωσε· φίλοι δ᾽ ἀμφέσταν ἑταῖροι
οἵ μιν ἄγον δι᾽ ἀγῶνος ἐφελκομένοισι πόδεσσιν·
αἷμα παχὺ πτύοντα· κάρη βάλλονθ᾽ ἑτέρωσε·
κὰδ δ᾽ ἀλλοφρονέοντα· μετὰ σφίσιν εἷσαν ἄγοντες·
αὐτοὶ δ᾽ οἰχόμενοι κόμισαν δέπας ἀμφικύπελλον·
πηλεΐδης δ᾽ αἶψ᾽ ἄλλα κατὰ τρίτα θῆκεν ἄεθλα·
δεικνύμενος δαναοῖσι (λαοῖσι)· παλαισμοσύνης ἀλεγεινῆς·
τῷ μὲν νικήσαντι· μέγαν τρίποδ᾽ ἐμπυριβήτην·
τὸν δὲ δυωδεκάβοιον ἐνὶ σφίσι τῖον ἀχαιοί·
ἀνδρὶ δὲ νικηθέντι· γυναῖκ᾽ ἐς μέσσον ἔθηκε·
πολλὰ δ᾽ ἐπίστατο ἔργα· τίον δέ ἑ τεσσαράβοιον·
στῆ δ᾽ ὀρθὸς· καὶ μῦθον ἐν ἀργείοισιν ἔειπεν·
ὄρνυσθ᾽ οἳ καὶ τούτου ἀέθλου πειρήσεσθον·
ὣς ἔφατ᾽· ὦρτο δ᾽ ἔπειτα μέγας τελαμώνιος αἴας·

οὐκ ἔτι ... ἑστήκειν· ἀντὶ τοῦ ἑστήκει· ἰωνικῶς:

ἐφ᾽ μελαντέρ[illegible]

ἐναλλὰ βάλλοντα

κὰδ δ᾽ ἀλλοφρονέοντα: [illegible]

ὄρνυσθ᾽ οἳ καὶ τούτου· [illegible] τοῖς ἐπάθλοις δυϊκῶς:-

ἐνὶ σφίσι τῖον ἀχαιοί· [illegible]

ἀγκὰς δ' ἀλλήλων λαβέτην: συμπλακέντες πάντα ... ὡς ὅτ' ἀμείβοντες ... ἀμείβοντες ... ἀμφοτέρωθεν ... οἱ μέγαλοι ... πρὸς ... ὀρθοὶ ... καὶ ... καλοῦνται:—

τρίποδος πέρι ποιητοῖο: ... περὶ τοῦ ποιητοῦ ... ὀνομάτων ... ἐνταῦθα ... καλοῦνται ... ἰσοδυνάμως ... κατασκευασμένου ... κατασκευασθέντος:—

ἂν δ' Ὀδυσσεὺς πολύμητις ἀνίστατο, κέρδεα εἰδώς.
ζωσαμένω δ' ἄρα τώ γε κατὰ μέσσον ἀγῶνα.
ἀγκὰς δ' ἀλλήλων λαβέτην χερσὶ στιβαρῇσιν
ὡς ὅτ' ἀμείβοντες, τούς τε κλυτὸς ἤραρε τέκτων.
δώματος ὑψηλοῖο, βίας ἀνέμων ἀλεείνων.
τετρίγει δ' ἄρα νῶτα, θρασειάων ἀπὸ χειρῶν,
ἑλκόμενα στερεῶς. κατὰ δὲ νότιος ῥέεν ἱδρώς.
πυκναὶ δὲ σμώδιγγες ἀνὰ πλευράς τε καὶ ὤμους
αἵματι φοινικόεσσαι ἀνέδραμον. οἳ δὲ μάλ' αἰεὶ
νίκης ἱέσθην. τρίποδος πέρι ποιητοῖο.
οὔτ' Ὀδυσεὺς δύνατο σφῆλαι. οὔδει τε πελάσσαι.
οὔτ' Αἴας δύνατο. κρατερὴ δ' ἔχεν, ἲς, Ὀδυσῆος.
ἀλλ' ὅτε δή ῥ' ἀνίαζον ἐϋκνήμιδας Ἀχαιούς.
δὴ τότε μιν προσέειπε μέγας Τελαμώνιος Αἴας.
διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ.
ἤ μ' ἀνάειρ', ἢ ἐγὼ σέ. τὰ δ' αὖ Διὶ πάντα μελήσει.
ὣς εἰπὼν, ἀνάειρε. δόλου δ' οὐ λήθετ' Ὀδυσσεύς.
κόψ' ὄπιθεν κώληπα τυχών. ὑπέλυσε δὲ γυῖα.
κὰδ δ' ἔβαλ' ἐξοπίσω. ἐπὶ δὲ στήθεσσιν Ὀδυσσεὺς
κάππεσε. λαοὶ δ' αὖ, θηεῦντό τε, θάμβησάν τε.
δεύτερος αὖτ' ἀνάειρε πολύτλας δῖος Ὀδυσσεύς.
κίνησεν δ' ἄρα τυτθὸν ἀπὸ χθονός. οὐδ' ἄρ' ἄειρε.
ἐν δὲ γόνυ γνάμψεν. ἐπὶ δὲ χθονὶ κάππεσον ἄμφω
πλησίοι ἀλλήλοισι. μιάνθησαν δὲ κονίῃ.
καί νύ κε τὸ τρίτον αὖτις ἀναΐξαντ' ἐπάλαιον.

ἀλλ' ὅτε δή ῥ' ἀνίαζον: ... τοῦτο δὲ ... ἐϋκνήμιδες Ἀχαιοί:—

ὣς εἰπὼν ἀνάειρε: ... καὶ ... παραιτεῖν ... καὶ τὸν κόψ' ὄπιθεν κώληπα ... :—

κόψ' ὄπιθεν κώληπα τυχών: ... :—

ἐν δὲ γόνυ γνάμψεν: ... οἱ δὲ ἄλλοι πάντες:— ... ἐπὶ δύο ... :—

ἢ μὴ ἀχιλλεὺς αὐτὸς ἀνίστατο. καὶ κατέρυκε·
μηκέτ' ἐρείδεσθον. μηδὲ τρίβεσθε κακοῖσι·
νίκη δ' ἀμφοτέροισιν· ἀέθλια δ' ἶσ' ἀνελόντες
ἔρχεσθ'. ὄφρα καὶ ἄλλοι ἀεθλεύωσιν ἀχαιοί·
ὣς ἔφαθ'. οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο.
καί ῥ' ἀπομορξαμένω κονίην. δύσαντο χιτῶνας·
πηλείδης δ' αἶψ' ἄλλα τίθει ταχυτῆτος ἄεθλα.
ἀργύρεον κρητῆρα. τετυγμένον· ἓξ δ' ἄρα μέτρα
χάνδανεν· αὐτὰρ κάλλει ἐνίκα πᾶσαν ἐπ' αἶαν
πολλόν. ἐπεὶ σιδόνες πολυδαίδαλοι εὖ ἤσκησαν·
φοίνικες δ' ἄγον ἄνδρες ἐπ' ἠεροειδέα πόντον·
στῆσαν δ' ἐν λιμένεσσι. θόαντι δὲ δῶρον ἔδωκαν·
υἷος δὲ πριάμοιο λυκάονος ὦνον ἔδωκε.
πατρόκλῳ ἥρωϊ ἰησονίδης εὔνηος·
καὶ τὸν ἀχιλλεὺς θῆκεν ἀέθλιον οὗ ἑτάροιο
ὅστις ἐλαφρότατος ποσσὶ κραιπνοῖσι πέλοιτο·
δευτέρῳ αὖ βοῦν θῆκε μέγαν. καὶ πίονα δημῷ· (ἐν ἄλλ(οις) καὶ πίονα·)
ἡμιτάλαντον δὲ χρυσοῦ λοισθήϊ' ἔθηκε· (λοισθήϊ' ἔθη(κε))
στῆ δ' ὀρθός. καὶ μῦθον ἐν ἀργείοισιν ἔειπεν·
※ ὄρνυσθ'. οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε·
ὣς ἔφατ'. ὄρνυτο δ' αὐτίκ' ὀϊλῆος ταχὺς αἴας·
ἂν δ' ὀδυσεὺς πολύμητις· ἔπειτα δὲ νέστορος υἱὸς
ἀντίλοχος· ὃ γὰρ αὖτε νέους ποσὶ πάντας ἐνίκα·
※ — στὰν δὲ μεταστοιχί· σήμηνε δ' ἐπὶ τέρματ' ἀχιλλεύς·
τοῖσι δ' ἀπὸ νύσσης τέτατο δρόμος· ὦκα δ' ἔπειτα

ὄρνυσθ' οἳ καὶ τούτου· ὁ ζηνόδοτος γράφει πειρήσεσθον· τελευταῖον μετὰ τὸ νικ[illegible] κλημ[illegible] πρὸς τὸν δρόμον:—
στὰν δὲ μεταστοιχί· ὁ· μὲν [illegible] ἐνθάδε ἐπὶ τὸ ἀρ[illegible] μαρτύρομαι· ὁ μὲν [illegible] οἷον μεταστοιχὶ λέγει ἐπὶ στίχον ἱστάμενοι [illegible]· ἐνταῦθα δὲ οὐκ [illegible] ἀλλὰ κατὰ ζυγὸν ἢ τάσις λέγεται κατὰ μέτωπον τοῦ ἐξίσου μετὰ +

ὡς ὅτε τίς τε γυναικὸς ... ἢ τοῖς ἄρα συναφθέν. [illegible] ἀπὸ ... [illegible]
εἰ μὲν γὰρ ... τοῖς ἄρα συναφθεῖσαι [illegible] παρακολ... εἰ δὲ ἅπαξ τοῖς [illegible] :-
χε. ἀϋτμένα: [illegible]

ἐκ φέρ' ὀϊλιάδης· ἐπὶ δ' ὄρνυτο δῖος ὀδυσσεὺς
ἄγχι μάλ', ὡς ὅτε τίς τε γυναικὸς εὐζώνοιο
στήθεός ἐστι κανὼν ὅν τ' εὖ μάλα χερσὶ τανύσσῃ
πηνίον ἐξέλκουσα παρὲκ μίτον· ἀγχόθι δ' ἴσχει
στήθεος· ὣς ὀδυσσεὺς θέεν ἐγγύθεν· αὐτὰρ ὄπισθεν
ἴχνια τύπτε πόδεσσι πάρος κόνιν ἀμφιχυθῆναι·
κὰδ δ' ἄρα οἱ κεφαλῆς χέ' ἀϋτμένα (ἀναπνοήν) δῖος ὀδυσσεὺς
αἰεὶ ῥίμφα θέων· ἴαχον δ' ἐπὶ πάντες ἀχαιοὶ
νίκης ἱεμένῳ· μάλα δὲ σπεύδοντι κέλευον·
ἀλλ' ὅτε δὴ πύματον τέλεον δρόμον, αὐτίκ' ὀδυσσεὺς
εὔχετ' ἀθηναίῃ γλαυκώπιδι ὃν κατὰ θυμόν·
κλῦθι θεά, ἀγαθή μοι ἐπίρροθος ἐλθὲ ποδοῖιν·
ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε παλλὰς ἀθήνη·
γυῖα δ' ἔθηκεν ἐλαφρά, πόδας καὶ χεῖρας ὕπερθεν·
ἀλλ' ὅτε δὴ τάχ' ἔμελλον ἐπαΐξασθαι ἄεθλον,
ἔνθ' αἴας μὲν ὄλισθε θέων· βλάψεν γὰρ ἀθήνη·
τῇ ῥα βοῶν κέχυτ' ὄνθος ἀποκταμένων ἐριμύκων,
οὓς ἐπὶ πατρόκλῳ πέφνεν πόδας ὠκὺς ἀχιλλεύς·
ἐν δ' ὄνθου βοέου πλῆτο στόματε ῥῖνάς τε·
κρητῆρ' αὖτ' ἀνάειρε πολύτλας δῖος ὀδυσσεὺς
ὡς ἦλθε φθάμενος· ὁ δὲ βοῦν φαίδιμος αἴας·
στῆ δὲ κέρας μετὰ χερσὶν ἔχων βοὸς ἀγραύλοιο,
ὄνθον ἀποπτύων· μετὰ δ' ἀργείοισιν ἔειπεν·
ὢ πόποι· ἦ μ' ἔβλαψε θεὰ πόδας, ἣ τὸ πάρος περ
μήτηρ ὣς ὀδυσῆϊ παρίσταται ἠδ' ἐπαρήγει·

Left margin: παρὰ μὲν τοῦ [illegible] — ἡ κατὰ [illegible] — ἐναγ(ωνίῳ) ἱεμένῳ — γενναῖε, συνήθ(ως) ὁμήρου [illegible]

Right margin: γυῖα δ' ἔθηκεν ἐλαφρά: [illegible] ... ἔνθ' αἴας μὲν ὑπὸ [illegible] ... μήτηρ ὣς ὀδυσῆϊ παρίσταται: [illegible]

ὣς ἔφατ', οἳ δ' ἄρα πάντες ἐπ' αὐτῷ ἡδὺ γέλασσαν.
Ἀντίλοχος δ' ἄρα δὴ λοισθήϊον ἔκφερ' ἄεθλον
μειδιόων, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
εἰδόσιν ὔμμιν ἐρέω πᾶσιν φίλοι, ὡς ἔτι καὶ νῦν
ἀθάνατοι τιμῶσι παλαιοτέρους ἀνθρώπους.
Αἴας μὲν γὰρ ἐμεῖ' ὀλίγον προγενέστερός ἐστιν,
οὗτος δὲ προτέρης γενεῆς προτέρων τ' ἀνθρώπων·
ὠμογέροντα δέ μίν φασ' ἔμμεναι· ἀργαλέον δὲ
ποσσὶν ἐριδήσασθαι Ἀχαιοῖς, εἰ μὴ Ἀχιλλεῖ.
ὣς φάτο, κύδηνεν δὲ ποδώκεα Πηλεΐωνα.
τὸν δ' Ἀχιλεὺς μύθοισιν ἀμειβόμενος προσέειπεν·
Ἀντίλοχ', οὐ μέν τοι μέλεος εἰρήσεται αἶνος,
ἀλλά τοι ἡμιτάλαντον ἐγὼ χρυσοῦ ἐπιθήσω.
ὣς εἰπὼν ἐν χερσὶ τίθει, ὃ δ' ἐδέξατο χαίρων.
αὐτὰρ Πηλεΐδης κατὰ μὲν δολιχόσκιον ἔγχος
θῆκ' ἐς ἀγῶνα φέρων, κατὰ δ' ἀσπίδα καὶ τρυφάλειαν
τεύχεα Σαρπήδονος, ἅ μιν Πάτροκλος ἀπηύρα.
στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥ περ ἀρίστω,
τεύχεα ἑσσαμένω ταμεσίχροα χαλκὸν ἑλόντε
ὁππότερός κε φθῇσιν ὀρεξάμενος χρόα καλόν,
ψαύσει δ' ἐνδίνων διά τ' ἔντεα καὶ μέλαν αἷμα,
τῷ μὲν ἐγὼ δώσω τόδε φάσγανον ἀργυρόηλον
καλὸν Θρηΐκιον, τὸ μὲν Ἀστεροπαῖον ἀπηύρων·
τεύχεα δ' ἀμφότεροι ξυνήϊα ταῦτα φερέσθων·

ἀλλήλων προπάροιθεν ὁμίλου πειρηθῆναι:-

ὠμογέροντα δέ μιν: ὠμογέροντα [illegible] ... ὠμογέροντα [illegible] ... πρὸς [illegible]:-

Ἀντίλοχ' οὐ μέν τοι μέλεος: ἤγουν μάταιος [illegible]:-

τεύχεα Σαρπήδοντος: [illegible]:—

ἄνδρε δύω περὶ τῶνδε: [illegible] ... ὁππότερός κε φθῇσιν ὀρεξάμενος [illegible]:-

φθῇσιν ὀρεξάμενος: [illegible]:

φαύσῃ δ' ἐνδίνων: [illegible]:—

ψαύσῃ δ' ἐνδίνων: [illegible]:—

τιθῆναι

— καί σφιν δαῖτ' ἀγαθ(ήν): ἀθετεῖται, ὅτι καὶ πῶς ἀμφοτέροις τῷ μὲν τί χρὴ τούτοις περιελκύσαι:-
αἰὲν ἐπ' αὐχένι κῦρε: ἵστησι τὸν Διομήδην καὶ σοῦ ἔχων ἡ παλάμη τῇ ἰδίᾳ παλάμῃ κατὰ τὸ
χεῖρα πρὸ πλείονος τελαμωνίῳ δὲ ἀεὶ περιγενέσθαι αὐτόν. ὃ δεῖ νικῆσαι. καὶ τὸ παρ' αὐτοῦ ἀθετεῖ

— καί σφιν δαῖτ' ἀγαθὴν παραθήσομεν ἐν κλισίῃσιν.
ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα μέγας τελαμώνιος αἴας·
ἂν δ' ἄρα τυδεΐδης ὦρτο, κρατερὸς διομήδης·
οἳ δ' ἐπεὶ οὖν ἑκάτερθεν ὁμίλου θωρήχθησαν,
ἐς μέσσον ἀμφοτέρω συνίτην, μεμαῶτε μάχεσθαι·
δεινὸν δερκομένω· θάμβος δ' ἔχε πάντας ἀχαιούς. ἐνήλλ— δεινὸν δερκομένω — θάμβος δ' ἔχεν εἰσορόωντας
ἀλλ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες·
τρὶς μὲν ἐπήϊξαν, τρὶς δὲ σχεδὸν ὁρμήθησαν·
ἔνθ' αἴας μὲν ἔπειτα κατ' ἀσπίδα πάντοσ' ἐΐσην
νύξ', οὐδὲ χρό' ἵκανεν· ἔρυτο γὰρ ἔνδοθι θώρηξ.
τυδεΐδης δ' ἄρ' ἔπειτα ὑπὲρ σάκεος μεγάλοιο
αἰὲν ἐπ' αὐχένι κῦρε φαεινοῦ δουρὸς ἀκωκῇ.
> καὶ τότε δή ῥ' αἴαντι περιδείσαντες ἀχαιοὶ
παυσαμένους ἐκέλευσαν ἀέθλια ἶσ' ἀνελέσθαι.
— αὐτὰρ τυδεΐδῃ δῶκεν μέγα φάσγανον ἥρως
— σὺν κολεῷ τε φέρων καὶ ἐϋτμήτῳ τελαμῶνι.
> αὐτὰρ πηλεΐδης θῆκεν σόλον αὐτοχόωνον,
ὃν πρὶν μὲν ῥίπτασκε μέγα σθένος ἠετίωνος·
ἀλλ' ἤτοι τὸν ἔπεφνε ποδάρκης δῖος ἀχιλλεύς·
τὸν δ' ἄγετ' ἐν νήεσσι σὺν ἄλλοισι κτεάτεσσι·
στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν ἀργείοισιν ἔειπεν·
ὄρνυσθ' οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε.
εἴ οἱ καὶ μάλα πολλὸν ἀπόπροθι πίονες ἀγροί,
ἕξει μιν καὶ πέντε περιπλομένους ἐνιαυτοὺς
χρεώμενος· οὐ μὲν γάρ οἱ ἀτεμβόμενός γε σιδήρου

καὶ τότε δή ῥ' αἴαντι: ὅτι ἐκ τούτου καὶ τοῦ τοιούτου φαίνεσθαι καθ' ὃ μὴ ῥομφαίαν αὐτοῦ τοῦ αἴαντος:—
αὐτὰρ τυδεΐδῃ δῶκεν: ἠθέτηται. συλλύσεως γὰρ γενομένης ἔδει κοινῇ ἰδίᾳ λαβεῖν τὰ ἆθλα. καὶ γὰρ προεῖρηται ἀέθλια ἶσ' ἀνελέσθαι. προνοεῖται δὲ ὁ ποιητὴς ὅπως ἀεὶ φέροι:—
αὐτὰρ πηλεΐδης: ὅτι ἡμαρτῶσθαι οἴονταί τινες. σόλον τὸν δίσκον εἶπεν. διαφέρει σόλος καὶ δίσκος. ὁ μὲν δίσκος πλατύς καὶ κυκλοτερής. ὁ δὲ σόλος σφαιροειδής:—

ποιμὴν οὐδ' ἀροτὴρ εἶσ' ἐς πόλιν· ἀλλὰ παρέξει·

ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα μενεπτόλεμος Πολυποίτης·

ἂν δὲ Λεοντῆος κρατερὸν μένος ἀντιθέοιο·

ἂν δ' Αἴας Τελαμωνιάδης· καὶ δῖος Ἐπειός·

ἑξείης δ' ἵσταντο· σόλον δ' ἕλε δῖος Ἐπειός·

ἧκε δὲ δινήσας· γέλασαν δ' ἐπὶ πάντες Ἀχαιοί·

δεύτερος αὖτ' ἀφέηκε Λεοντεὺς ὄζος Ἄρηος·

τὸ τρίτον αὖτ' ἔρριψε μέγας Τελαμώνιος Αἴας

χειρὸς ἀπὸ στιβαρῆς· καὶ ὑπέρβαλε σήματα πάντων·

ἀλλ' ὅτε δὴ σόλον εἷλε μενεπτόλεμος Πολυποίτης·

ὅσσον τίς τ' ἔρριψε καλαύροπα βουκόλος ἀνήρ·

ἡ δέ θ' ἑλισσομένη πέτεται διὰ βοῦς ἀγελαίας·

τόσσον παντὸς ἀγῶνος ὑπέρβαλε· τοὶ δ' ἰάχησαν·

ἀνστάντες δ' ἕταροι Πολυποίταο κρατεροῖο·

νῆας ἔπι γλαφυρὰς ἔφερον βασιλῆος ἄεθλον·

αὐτὰρ ὁ τοξευτῇσι τίθει ἰόεντα σίδηρον·

κὰδ δ' ἐτίθει δέκα μὲν πελέκεας· δέκα δ' ἡμιπέλεκκα·

ἱστὸν δ' ἔστησεν νηὸς κυανοπρῴροιο

τηλοῦ ἐπὶ ψαμάθοις· ἐκ δὲ τρήρωνα πέλειαν

λεπτῇ μηρίνθῳ δῆσεν ποδός· ἧς ἄρ' ἀνώγει

τοξεύειν· ὃς μέν κε βάλῃ τρήρωνα πέλειαν·

πάντας ἀειράμενος πελέκεας οἶκόνδε φερέσθω·

ὃς δέ κε μηρίνθοιο τύχῃ· ὄρνιθος ἁμαρτών·

ἥσσων γὰρ δὴ κεῖνος· ὁ δ' οἴσεται ἡμιπέλεκκα·

ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα βίη Τεύκροιο ἄνακτος·

χειρὸς ἀπὸ στιβαρῆς: ἀντὶ τοῦ [illegible] προθεῖναι καὶ [illegible] ἀμφοτέρων μνημονεύει [illegible] ὑπέρβαλε σήματα πάντων· [illegible]

ἀλλ' ὅτε δὴ σόλον εἷλε: ὑπὲρ [illegible] Πολυποίτου ἀνήρ· ἀγελαίας· [illegible] προτέρων [illegible] μνημονεύεται:—

ὅσσον τίς τ' ἔρριψε: ὅτι ἅπαξ καλαύροπα σημαίνει [illegible] ἀπὸ τοῦ καλοῦ [illegible]:—

αὐτὰρ ὁ τοξευτῇσι: ὁ τὴν ἐσ ἰόεντα [illegible] σίδηρον [illegible] ἀέθλου [illegible] τόξοις:—

κὰδ δ' ἐτίθει: ὁ καὶ [illegible] ὁ αὐτὸς [illegible] πελέκεας [illegible] τίθησι [illegible] τοξεύειν τὸ [illegible] τήρωνα [illegible]:—

ἐν ἄλλῳ· ἧς τ' ἄρ' ἀνώγει

πελέκεας: ἀξίην [illegible] σταθμὸν σιδήρου [illegible] ἡμιπέλεκκα [illegible] πελέκεως [illegible] καὶ [illegible] ἑξείης ἵσταντο [illegible] τοξόται [illegible] αὐτοῖς [illegible]:—

ἐν ἄλλῳ· κλισίηνδε φερέσθω

λεπτῇ μηρίνθῳ δῆσε ποδός: [illegible] καὶ ἧς ἄρ' ἀνώγει. [illegible] δῆσε ποδός:— οὕτως ἧς ἄρ' Ἀχιλλεὺς τοῦ [illegible] ὃς μὲν κε βάλῃ:— [illegible] τὸ ἀποτυχεῖν [illegible]:—

τοξευέμεναι μέν κε: ὁ ἀπὸ τοῦ [illegible] ὃς δέ κε μηρίνθοιο: ἀντὶ [illegible] μηρίνθοιο τύχῃ, καὶ [illegible] τύχῃ [illegible] τῷ ὄρνιθι [illegible]:— ὁ δ' οἴσεται ἡμιπέλεκκα: δύο μέρη [illegible] [illegible] ἡμιπέλεκκα [illegible] ἀποφαίνει

ἂν δ' ἄρα Μηριόνης, θεράπων ἐῢς Ἰδομενῆος·
κλήρους δ' ἐν κυνέῃ χαλκήρεϊ πάλλον ἑλόντες·
Τεῦκρος δὲ πρῶτος κλήρῳ λάχεν· αὐτίκα δ' ἰὸν
> ἧκεν ἐπικρατέως· οὐδ' ἠπείλησεν ἄνακτι· — τὸ νῦν ἠπείλησεν ἀντὶ τοῦ ηὔξατο:
ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην·
ὄρνιθος μὲν ἅμαρτε, μέγηρε γάρ οἱ τό γ' Ἀπόλλων·
αὐτὰρ ὃ μήρινθον βάλε πὰρ πόδα· τῇ δέδετ' ὄρνις· — ἑκατέρως δύνανται προ(φέρεσθαι) ... :
ἀντικρὺ δ' ἀπὸ μήρινθον τάμε πικρὸς ὀϊστός·
ἣ μὲν ἔπειτ' ἤϊξε πρὸς οὐρανόν· ἣ δὲ παρείθη
μήρινθος ποτὶ γαῖαν· ἀτὰρ κελάδησαν Ἀχαιοί·
> σπερχόμενος δ' ἄρα Μηριόνης ἐξείρυσε χειρὸς
τόξον· ἀτὰρ δὴ ὀϊστὸν ἔχεν πάλαι ὡς ἴθυνεν·
αὐτίκα δ' ἠπείλησεν ἑκηβόλῳ Ἀπόλλωνι
ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην·
ὕψι δ' ὑπαὶ νεφέων εἶδε τρήρωνα πέλειαν·
τῇ ῥ' ὅ γε δινεύουσαν ὑπὸ πτέρυγος βάλε μέσσην·
ἀντικρὺ δὲ διῆλθε βέλος· τὸ μὲν ἂψ ἐπὶ γαίῃ
πρόσθεν Μηριόναο πάγη ποδός· αὐτὰρ ἡ ὄρνις
ἱστῷ ἐφεζομένη νηὸς κυανοπρῴροιο
αὐχέν' ἀπεκρέμασεν· σὺν δὲ πτερὰ πυκνὰ λίασθεν·
ὠκὺς δ' ἐκ μελέων θυμὸς πτάτο· τῆλε δ' ἀπ' αὐτοῦ
κάππεσε· λαοὶ δ' αὖ θηεῦντο· θάμβησάν τε·
> ἂν δ' ἄρα Μηριόνης πελέκεας δέκα πάντας ἄειρε·
Τεῦκρος δ' ἡμιπέλεκκα φέρεν κοίλας ἐπὶ νῆας·
αὐτὰρ Πηλεΐδης κατὰ μὲν δολιχόσκιον ἔγχος·

σπερχόμενος δ' ἄρα· ἐν τῇ μασσαλιωτικῇ· σπερχόμενος δ' ἄρα Μηριόνης ἐπεθήκατο ἰὸν τόξῳ· ἐν γὰρ πάσιν εἶχε πάλαι ὡς ἴθυνεν· ἐν δὲ τῇ κατ' Ἀντίμαχον οὕτως· σπερχόμενος δ' ἄρα Μηριόνης ἐξήρπασε τόξον χειρῶν· ὁ μέντοι Ἀρίσταρχος διὰ τῶν ὑπομνημάτων ἐπιζητεῖ πῶς ὁ Μηριόνης ἐκ χειρὸς τοῦ ἑτέρου χειρὸς τὸ τόξον ... ἐναρμόζει αὐτὸ ἄνευ ... τὸ δὲ ἀτὰρ ὀϊστὸν ἔχεν πάλαι ἐπὶ τοῦ ἑτέρου ἀκουστέον:—

σπερχόμενος δ' ἄρα· ὅτι ἑνὶ τόξῳ ἐχρῶντο οἱ τοξόται· διὸ ... ἀφαιρεῖται ὁ Μηριόνης τοῦ Τεύκρου τὸ τόξον:—

αὐχέν' ἀπεκρέμασεν· Ἀρίσταρχος διὰ τοῦ β̄ ... ἐν τῇ μασσαλιωτικῇ λίασθεν:—

ὦ Πριάμῳ νέκυν υἷα λαβὼν γέρα δῶκεν Ἀχιλλεύς

ἧκ' ἐς ἀγῶνα φέρων: ὅτι ἥμονες οἱ ἀκοντισταὶ ἀπὸ τοῦ ἱέναι· πρὸς δὲ ἀμφότερα ῥητέον ἥμονες οἰόμενοι τὸ ὀρθότερον οὐκ ἔστι ... τὸ δὲ ἥμονες ... παρ' ὃ ... σχηματίζεται ἡ λέξις ... καὶ τὸ ἠδ' ὅσσον δυνάμει τε καὶ ἥμασιν ἔπλευ ἄριστος: ἠδ' ὅσσον δυνάμει τε· ὅτι ... ἀκοντίσμασι ... πάντων:—

ἄπυρ(ον): ἀναθεματικὰ ἢ ποικίλ(ον) ἢ τετορ(ευ)μένον·

κὰδ δὲ λέβητ' ἄπυρον, βοὸς ἄξιον, ἀνθεμόεντα
ἧκ' ἐς ἀγῶνα φέρων· καί ῥ' ἥμονες ἄνδρες ἀνέσταν·
ἂν μὲν ἄρ' Ἀτρείδης, εὐρὺ κρείων Ἀγαμέμνων,
ἂν δ' ἄρα Μηριόνης, θεράπων ἐῢς Ἰδομενῆος.
τοῖσι δὲ καὶ μετέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
Ἀτρείδη, ἴδμεν γὰρ ὅσον προβέβηκας ἁπάντων,
ἠδ' ὅσσον δυνάμει τε καὶ ἥμασιν ἔπλευ ἄριστος·
ἀλλὰ σὺ μὲν τόδ' ἄεθλον ἔχων κοίλας ἐπὶ νῆας
ἔρχευ· ἀτὰρ δόρυ Μηριόνῃ ἥρωϊ πόρωμεν,
εἰ σύ γε σῷ θυμῷ ἐθέλοις· κέλομαι γὰρ ἔγωγε.
ὣς ἔφατ'· οὐδ' ἀπίθησεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
δῶκε δὲ Μηριόνῃ δόρυ χάλκεον· αὐτὰρ ὅ γ' ἥρως
Ταλθυβίῳ κήρυκι δίδου περικαλλὲς ἄεθλον.

ἀκοντίσμασιν

παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀριστάρχου
διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ
καὶ ἐκ τῶν Νικάνορος περὶ στιγμῆς

ΙΛΙΑΔΟΣ Ω

Λῦτο δ' ἀγών, λαοὶ δὲ θοὰς ἐπὶ νῆας ἕκαστοι
ἐσκίδναντ' ἰέναι· τοὶ μὲν δόρποιο μέδοντο
ὕπνου τε γλυκεροῦ ταρπήμεναι· αὐτὰρ Ἀχιλλεὺς
κλαῖε φίλου ἑτάρου μεμνημένος, οὐδέ μιν ὕπ(νος)

λῦτο δ' ἀγών: εἰ μὲν μόνον β̄ ... ἐστὶν ἀπὸ τοῦ φόνου ... ἐπὶ τὰ πέρατα. μὴ δὲ μὴν τρίτη τῶν πέρας· καὶ τὸ δὲ ἄρα ... ἕκαστος ... διὰ μέτρον. εἰ δὲ παρατατικὸν ... δέοντα ... ἵνα μὴ ... Ἰχθυὸς ... ἐν ... τὸ κοινόν. καὶ ἀπὸ τοῦ ... συνεῖναι ...:—

λ ε υ κ

ᾕρει πανδαμάτωρ, ἀλλ' ἐστρέφετ' ἔνθα καὶ ἔνθα
Πατρόκλου ποθέων ἀνδροτῆτά τε καὶ μένος ἠΰ,
ἠδ' ὁπόσα τολύπευσε σὺν αὐτῷ καὶ πάθεν ἄλγεα
ἀνδρῶν τε πολέμοιο ἀλεγεινά τε κύματα πείρων·
τῶν μιμνησκόμενος θαλερὸν κατὰ δάκρυον εἶβεν,
ἄλλοτ' ἐπὶ πλευρὰς κατακείμενος, ἄλλοτε δ' αὖτε
ὕπτιος, ἄλλοτε δὲ πρηνής· τοτὲ δ' ὀρθὸς ἀναστὰς
δινεύεσκ' ἀλύων παρὰ θῖν' ἁλός· οὐδέ μιν ἠὼς
φαινομένη λήθεσκεν ὑπεὶρ ἅλα τ' ἠϊόνας τε.
ἀλλ' ὅ γ' ἐπεὶ ζεύξειεν ὑφ' ἅρμασιν ὠκέας ἵππους,
Ἕκτορα δ' ἕλκεσθαι δησάσκετο δίφρου ὄπισθεν,
τρὶς δ' ἐρύσας περὶ σῆμα Μενοιτιάδαο θανόντος
αὖτις ἐνὶ κλισίῃ παυέσκετο, τὸν δέ τ' ἔασκεν
ἐν κόνι ἐκτανύσας προπρηνέα· τοῖο δ' Ἀπόλλων
πᾶσαν ἀεικείην ἄπεχε χροῒ φῶτ' ἐλεαίρων
καὶ τεθνειότα περ· περὶ δ' αἰγίδι πάντα κάλυπτε
χρυσείῃ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων.
ὣς ὁ μὲν Ἕκτορα δῖον ἀείκιζεν μενεαίνων·
τὸν δ' ἐλεαίρεσκον μάκαρες θεοὶ εἰσορόωντες,
κλέπτειν δ' ὀτρύνεσκον ἐΰσκοπον Ἀργειφόντην.
ἔνθ' ἄλλοισι μὲν πᾶσιν ἑήνδανεν, οὐδέ ποθ' Ἥρῃ
οὐδὲ Ποσειδάων' οὐδὲ γλαυκώπιδι κούρῃ,
ἀλλ' ἔχον ὥς σφιν πρῶτον ἀπήχθετο Ἴλιος ἱρὴ
καὶ Πρίαμος καὶ λαὸς Ἀλεξάνδρου ἕνεκ' ἄτης,
ὃς νείκεσσε θεὰς ὅτε οἱ μέσσαυλον ἵκοντο.

EPIC POEM .ORG
DIGITAL CLASSICS

The digital bookmark of each PDF page identifies the first and last line number and folio page number. Please forward any corrections to editor@seahandpress.com.